if however wishing it-be to-Neapolitans the(-things) both
βασιλέως ἑλέσθαι καὶ δουλείας οὕτω χαλεπῆς ἀπηλλάχθαι,
of-(the)-emperor to-choose and from-slavery so harsh to-be-freed
ἐκεῖνα ὑμῖν ἀναδέχομαι τὰ πιστὰ διδοὺς ἔσεσθαι πρὸς
those(-things) to-you I-undertake the pledges giving to-be from

ἡμῶν, ἃ Σικελιῶται πρώην ἐλπίσαντες ψευδορκίους
us which Sicilians lately having-hoped perjurers
ἡμᾶς οὐκ ἔσχον εἰπεῖν."
us not could to-call

8.19 Ταῦτα μὲν Στέφανον Βελισάριος ἐς τὸν δῆμον
these(-things) indeed Stephanus Belisarius to the people
ἀπαγγέλλειν ἐκέλευεν. ἰδίᾳ δέ οἱ μεγάλα ὑπέσχετο
to-report bade privately and to-him great promised
ἀγαθὰ ἔσεσθαι, Νεαπολίτας ἐς εὔνοιαν τὴν βασιλέως
good(-things) to-be Neapolitans to goodwill the of-(the)-emperor
ὁρμήσοντι.
he-should-urge

8.20 Στέφανος δὲ ἐς τὴν πόλιν ἥκων τούς τε Βελισαρίου λόγους
Stephanus and into the city coming the both of-Belisarius words
ἀπήγγελλε καὶ γνώμην αὐτὸς ἀπεφαίνετο βασιλεῖ
reported and (an)-opinion himself declared with-(the)-emperor
μάχεσθαι ἀξύμφορον εἶναι.
to-fight unprofitable to-be

8.21 καί οἱ ξυνέπρασσεν Ἀντίοχος, Σύρος μὲν ἀνήρ,
and with-him acted-together Antiochus (a)-Syrian indeed man
ἐκ παλαιοῦ δὲ ᾠκημένος ἐν Νεαπόλει ἐπὶ τῇ κατὰ
from of-old and settled in Naples for the by
θάλασσαν ἐργασίᾳ καὶ δόξαν πολλὴν ἐπί τε ξυνέσει
sea trade and reputation much for both understanding
καὶ δικαιοσύνῃ ἐνταῦθα ἔχων.
and justice there having

8.22 Πάστωρ δὲ καὶ Ἀσκληπιόδοτος ῥήτορε μὲν ἤστην καὶ
Pastor and and Asclepiodotus orators indeed were and
λίαν ἔν γε Νεαπολίταις λογίμω, Γότθοις δὲ φίλω
very among at-least Neapolitans notable to-Goths and friends

ἐς τὰ μάλιστα, καὶ τὰ παρόντα ὡς ἥκιστα βουλομένω
in the most and the present(-things) as least wishing
μεταβάλλεσθαι.
to-be-changed
τούτω τὼ ἄνδρε βουλευσαμένω ὅπως τὰ πρασσόμενα 8.23
these the-two men having-planned so-that the(-things) being-done
ἐν κωλύμῃ ἔσται, πολλά τε καὶ μεγάλα τὸ πλῆθος
in hindrance will-be many both and great(-things) the multitude
ἐνηγέτην προΐσχεσθαι καὶ Βελισάριον ὅρκοις καταλαμβάνειν
urged to-put-forward and Belisarius by-oaths to-bind
ὅτι δὴ τούτων αὐτίκα μάλα πρὸς αὐτοῦ τεύξονται.
that indeed these at-once very from him they-will-obtain
ἐν βιβλιδίῳ δὲ ἅπαντα γράψαντε ὅσα Βελισάριον οὐκ ἄν 8.24
in (a)-little-book and all(-things) having-written which Belisarius not —
τις ἐνδέξασθαι ὑπετόπησε Στεφάνῳ ἔδοσαν.
anyone to-accept suspected to-Stephanus they-gave
ὃς ἐπεὶ ἐς τὸ βασιλέως στρατόπεδον αὖθις ἀφίκετο, τῷ 8.25
who when to the of-(the)-emperor camp again arrived to-the
στρατηγῷ ἐπιδείξας τὸ γραμματεῖον ἐπυνθάνετο εἴ οἱ
general having-shown the document he-inquired whether to-him
πάντα τε ἐπιτελέσαι ὅσα Νεαπολῖται προτείνονται
all(-things) both to-accomplish as-many-as Neapolitans put-forward
καὶ περὶ τούτων ὀμεῖσθαι βουλομένῳ εἴη. ὁ δὲ αὐτόν,
and about these to-swear wishing it-were he and him
ἅπαντα σφίσιν ἐπιτελῆ ἔσεσθαι ὑποσχόμενος, ἀπεπέμψατο.
all(-things) to-them accomplished to-be having-promised sent-away
ταῦτα Νεαπολῖται ἀκούσαντες τούς τε λόγους ἐνεδέχοντο 8.26
these(-things) Neapolitans having-heard the both proposals accepted
ἤδη καὶ κατὰ τάχος ἐκέλευον τῇ πόλει τὸ βασιλέως
already and with speed they-bade into-the city the of-(the)-emperor
στράτευμα δέχεσθαι.
army to-receive

8.27 ἀπαντήσειν γὰρ σφίσιν αὐτοῖς ἰσχυρίζετο οὐδὲν ἄχαρι,
would-meet for them selves insisted nothing unpleasant
εἴ τῳ ἱκανοὶ Σικελιῶται τεκμηριῶσαι, οἷς δὴ
if to-anyone sufficient Sicilians to-give-proof to-whom indeed
τετύχηκεν ἔναγχος βαρβάρων τυράννων τὴν Ἰουστινιανοῦ
it-has-befallen lately for-barbarian tyrants the of-Justinian
βασιλείαν ἀλλαξαμένοις, ἐλευθέροις τε εἶναι καὶ ἀπαθέσι
rule having-exchanged free both to-be and untouched
δυσκόλων ἁπάντων.
by-troubles all

8.28 καὶ πολλῷ θορύβῳ ἐχόμενοι ἐπὶ τὰς πύλας ὡς δὴ
and by-much tumult held to the gates as indeed
αὐτὰς ἀνακλινοῦντες ἤεσαν. Γότθοις δὲ οὐκ ἦν ἐν ἡδονῇ
them going-to-open they-went to-Goths and not was in pleasure
τὰ πρασσόμενα, κωλύειν μέντοι οὐχ οἷοί τε ὄντες
the(-things) being-done to-prevent however not able — being
ἐκποδὼν ἵσταντο.
out-of-the-way they-stood

8.29 Πάστωρ δὲ καὶ Ἀσκληπιόδοτος τόν τε δῆμον καὶ Γότθους
Pastor and and Asclepiodotus the both people and Goths
ἅπαντας ἐς ἕνα συγκαλέσαντες χῶρον ἔλεξαν τοιάδε
all into one having-called-together place said such(-things)
“Πόλεως μὲν πλῆθος ἑαυτούς τε καὶ τὴν ἑαυτῶν
of-(a)-city indeed (a)-multitude themselves both and the their-own
σωτηρίαν προΐεσθαι οὐδὲν ἀπεικός, ἄλλως τε ἢν καὶ
safety to-throw-away nothing unreasonable especially — if also
μηδενὶ τῶν δοκίμων κοινώσαντες εἶτα αὐτόνομον τὴν
with-none of-the approved(-men) having-consulted then independent the
περὶ τῶν ὅλων ποιήσωνται γνῶσιν.
about the whole(-things) they-make judgment

ἡμᾶς δὲ ἀνάγκη ξὺν ὑμῖν ὅσον οὔπω ἀπολουμένους 8.30
us and (it-is)-necessity with you as-much-as not-yet going-to-perish
ὕστατον ἔρανον τῇ πατρίδι τήνδε παρέχεσθαι τὴν
(a)-last contribution to-the fatherland this to-offer the
παραίνεσιν.
exhortation
ὁρῶμεν τοίνυν ὑμᾶς, ἄνδρες πολῖται, καταπροδιδόναι 8.31
we-see therefore you men citizens to-betray
Βελισαρίῳ ὑμᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ἐπειγομένους,
to-Belisarius you both yourselves and the city hastening
πολλά τε ὑμᾶς ἀγαθὰ ἐπαγγελλομένῳ ἐργάζεσθαι καὶ
many both you good(-things) promising to-do and
ὅρκους δεινοτάτους ὑπὲρ τούτων ὀμεῖσθαι.
oaths most-terrible about these to-swear
εἰ μὲν οὖν καὶ τοῦτο ὑμῖν ἀναδέχεσθαι οἷός τέ ἐστιν 8.32
if indeed then also this to-you to-guarantee able — he-is
ὡς ἐς αὐτὸν ἥξει τὸ τοῦ πολέμου κράτος, οὐδεὶς ἂν
that to him will-come the of-the war mastery no-one —
ἀντείποι μὴ οὐχὶ ταῦτα ὑμῖν ξύμφορα εἶναι.
would-gainsay not not these(-things) for-you advantageous to-be
τῷ γὰρ κυρίῳ γενησομένῳ μὴ οὐχὶ πάντα χαρίζεσθαι πολλὴ 8.33
to-the for lord going-to-be not not all(-things) to-gratify (is)-much
ἄνοια. εἰ δὲ τοῦτο μὲν ἐν ἀδήλῳ κεῖται, ἀνθρώπων δὲ
folly if and this indeed in uncertainty lies of-men and
οὐδεὶς ἀξιόχρεώς ἐστι τὴν τῆς τύχης ἀναδέχεσθαι γνώμην,
no-one competent is the of-the fortune to-guarantee judgment
σκέψασθε ὑπὲρ οἵων ὑμῖν συμφορῶν ἡ σπουδὴ γίγνεται.
consider for what-sort for-you misfortunes the zeal is

8.34 ἢν γὰρ τῷ πολέμῳ Γότθοι τῶν δυσμενῶν περιέσονται,
if for in-the war Goths of-the hostile(-ones) will-prevail
ὡς πολεμίους ὑμᾶς καὶ τὰ δεινότατα σφᾶς αὐτοὺς
as enemies you and the most-terrible(-things) them selves
εἰργασμένους κολάσουσιν.
having-done they-will-punish

8.35 οὐ γὰρ ἀνάγκῃ βιαζόμενοι, ἀλλὰ γνώμῃ ἐθελοκακοῦντες ἐς
not for by-necessity forced but by-judgment being-willfully-wicked to
τὴν προδοσίαν καθίστασθε. ὥστε καὶ Βελισαρίῳ κρατήσαντι
the treason you-set-yourselves so-that even to-Belisarius having-prevailed
τῶν πολεμίων ἴσως ἄπιστοί τε φανούμεθα καὶ τῶν
of-the enemies perhaps untrustworthy both we-will-appear and of-the(-ones)
ἡγουμένων προδόται, καὶ ἅτε δραπέται γεγενημένοι, ἐς πάντα
leading(-us) betrayers and as runaways having-become for all
τὸν αἰῶνα φρουρὰν πρὸς βασιλέως κατὰ τὸ εἰκὸς ἕξομεν.
the age (a)-garrison from (the)-emperor according-to the likely we-will-have

8.36 ὁ γάρ του προδότου τετυχηκὼς τῇ μὲν χάριτι
the(-one) for of-(a)-certain traitor having-obtained(-help) at-the indeed favor
ἐς τὸ παραυτίκα νικήσας ἥσθη, ὑποψίᾳ δὲ ὕστερον τῇ
for the moment having-won was-pleased with-suspicion and later the
ἐκ τῶν πεπραγμένων μισεῖ καὶ φοβεῖται τὸν εὐεργέτην,
from the(-things) done he-hates and fears the benefactor
αὐτὸς ἐφ᾽ ἑαυτῷ τὰ τῆς ἀπιστίας γνωρίσματα ἔχων.
himself in himself the of-the faithlessness tokens having

8.37 ἢν μέντοι πιστοὶ Γότθοις ἐν τῷ παρόντι γενώμεθα,
if however faithful to-Goths in the present we-become
γενναίως ὑποστάντες τὸν κίνδυνον, αὐτοί τε τῶν πολεμίων
nobly having-withstood the danger they both of-the enemies
κρατήσαντες μεγάλα ἡμᾶς ἀγαθὰ δράσουσι καὶ Βελισάριος
having-prevailed great(-things) us good will-do and Belisarius
ἡμῖν νενικηκώς, ἂν οὕτω τύχῃ, συγγνώμων ἔσται.
to-us having-conquered if thus it-should-happen forgiving will-be

εὔνοια γὰρ ἀποτυχοῦσα πρὸς οὐδενὸς ἀνθρώπων ὅτι μὴ 8.38
goodwill for having-failed by no men except —
ἀξυνέτου κολάζεται.
by-(a)-senseless(-one) is-punished
τί δὲ καὶ παθόντες κατωρρωδήκατε τῶν πολεμίων τὴν 8.39
what and also having-suffered have-you-dreaded of-the enemies the
προσεδρείαν, οἳ οὔτε τῶν ἐπιτηδείων σπανίζοντες οὔτε
siege who neither of-the provisions lacking nor
του ἀποκεκλεισμένοι τῶν ἀναγκαίων κάθησθε οἴκοι, τῷ
of-any having-been-shut-off of-the necessities sit at-home in-the
τε περιβόλῳ καὶ φρουροῖς τοῖσδε τὸ θαρρεῖν ἔχοντες;
both circuit-wall and in-garrison-troops these the confidence having
οἰόμεθα δὲ οὐδ' ἂν Βελισάριον ἐς τήνδε ξυμβῆναι τὴν
we-think and not-even — Belisarius to this to-come the
ὁμολογίαν ἡμῖν, εἴ τινα βίᾳ τὴν πόλιν αἱρήσειν ἐλπίδα εἶχε.
agreement with-us if any by-force the city to-take hope he-had
καίτοι εἰ τὰ δίκαια καὶ ἡμῖν ξυνοίσοντα ποιεῖν 8.40
and-yet if the just(-things) and for-us going-to-be-advantageous to-do
ἤθελεν, οὐ Νεαπολίτας αὐτὸν δεδίσσεσθαι ἐχρῆν οὐδὲ
he-wished not Neapolitans him to-frighten it-was-needful nor
τῇ παρ' ἡμῶν ἐς Γότθους ἀδικίᾳ τὴν οἰκείαν βεβαιοῦν
by-the from us toward Goths wrong the own to-secure
δύναμιν, ἀλλὰ Θευδάτῳ τε καὶ Γότθοις ἐς χεῖρας ἰέναι,
power but with-Theodatus both and Goths to hands to-go
ὅπως κινδύνου τε καὶ προδοσίας ἡμετέρας χωρὶς ἡ
so-that of-danger both and of-betrayal our without the
πόλις ἐς τὸ τῶν νικώντων χωρήσει κράτος."
city to the of-the(-ones) conquering will-go power
τοσαῦτα Πάστωρ τε καὶ Ἀσκληπιόδοτος εἰπόντες τοὺς 8.41
so-much Pastor both and Asclepiodotus having-said the
Ἰουδαίους παρῆγον ἰσχυριζομένους τὴν πόλιν τῶν
Jews brought-forward insisting the city of-the

ἀναγκαίων οὐδενὸς ἐνδεᾶ ἔσεσθαι, καὶ Γότθοι δὲ φυλάξειν
necessities in-nothing lacking to-be and Goths too would-guard
ἀσφαλῶς τὸν περίβολον ἰσχυρίζοντο.
safely the circuit-wall insisted

8.42 οἷς δὴ Νεαπολῖται ἡγμένοι ἐκέλευον Βελισάριον ἐνθένδε
by-whom indeed Neapolitans led bade Belisarius from-there
ὅτι τάχιστα ἀπαλλάσσεσθαι.
as quickest to-depart

8.43 ὁ δὲ ἐς τὴν πολιορκίαν καθίστατο. πολλάκις τε τοῦ
he and into the siege set-himself often both the
περιβόλου ἀποπειρασάμενος ἀπεκρούσθη, τῶν στρατιωτῶν
circuit-wall having-made-trial-of he-was-repulsed of-the soldiers
ἀπολέσας πολλούς, καὶ μάλιστα οἷς δὴ ἀρετῆς τι
having-lost many and most those-whom indeed of-valor some
μεταποιεῖσθαι ξυνέβαινε.
to-lay-claim-to it-befell

8.44 τὸ γὰρ Νεαπόλεως τεῖχος τὰ μὲν θαλάσσῃ, τὰ
the for of-Naples wall the(-parts) indeed by-sea the(-parts)
δὲ δυσχωρίαις τισὶν ἀπρόσοδόν τε ἦν καὶ τοῖς
and by-difficult-ground some inaccessible both was and for-the(-ones)
ἐπιβουλεύουσι τά τε ἄλλα καὶ διὰ τὸ ἄναντες εἶναι
plotting-against(-it) the both other(-things) and because-of the uphill to-be
οὐδαμῇ ἐσβατόν.
in-no-way accessible

8.45 καὶ τὸν ὀχετὸν μέντοι, ὃς ἐς τὴν πόλιν ἐσῆγε τὸ ὕδωρ,
and the aqueduct however which into the city brought-in the water
διελὼν Βελισάριος, οὐ σφόδρα Νεαπολίτας ἐτάραξεν, ἐπεὶ
having-cut Belisarius not very Neapolitans troubled since
φρέατα ἐντός τε ὄντα τοῦ περιβόλου καὶ τὴν χρείαν
wells within both being the circuit-wall and the need
παρεχόμενα αἴσθησιν τούτου σφίσιν οὐ λίαν ἐδίδου.
supplying perception of-this to-them not very gave

Οἱ μὲν οὖν πολιορκούμενοι λανθάνοντες τοὺς 9.1
the(-men) indeed then being-besieged escaping-the-notice-of the
πολεμίους ἔπεμπον ἐς Ῥώμην παρὰ Θευδάτον βοηθεῖν
enemies sent to Rome to Theodatus to-help
σφίσι κατὰ τάχος δεόμενοι. Θευδάτος δὲ πολέμου
them with speed asking Theodatus and of-war
παρασκευήν τινα ἥκιστα ἐποιεῖτο, ὢν μὲν καὶ φύσει
preparation any least made being indeed also by-nature
ἄνανδρος, ὥσπερ μοι ἔμπροσθεν εἴρηται.
unmanly as by-me before has-been-said
λέγουσι δὲ αὐτῷ καὶ ἕτερόν τι ξυμβῆναι, ὃ 9.2
they-say and to-him also another something to-have-happened which
μάλιστα αὐτὸν ἐξέπληξέ τε καὶ ἐς ὀρρωδίαν μείζω
most him alarmed both and into fear greater
ἀπήνεγκεν, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες·
carried to-me indeed not credible(-things) saying
καὶ ὡς δὲ εἰρήσεται. Θευδάτος καὶ πρότερον μὲν οὐκ 9.3
and even-so too it-will-be-told Theodatus also earlier indeed not
ἀμελέτητος ἦν τῶν τι προλέγειν ἐπαγγελλομένων
unpracticed was of-the(-ones) something to-foretell professing
τὰς πύστεις ποιεῖσθαι, τότε δὲ τοῖς παροῦσιν ἀπορούμενος,
the inquiries to-make then and by-the present(-things) being-at-a-loss
ὃ δὴ μάλιστα τοὺς ἀνθρώπους ἐς μαντείας ὁρμᾶν εἴωθε,
which indeed most the men to divinations to-urge is-wont
τῶν τινος Ἑβραίων, δόξαν ἐπὶ τούτῳ πολλὴν ἔχοντος,
of-the one of-Hebrews (a)-reputation for this great having
ἐπυνθάνετο ὁποῖόν ποτε τῷ πολέμῳ τῷδε τὸ πέρας ἔσται.
he-inquired of-what-sort ever for-the war this the end will-be
ὁ δὲ αὐτῷ ἐπήγγελλε χοίρων δεκάδας τρεῖς καθείρξαντι 9.4
he and him bade of-swine tens three having-shut-up
ἐν οἰκίσκοις τρισὶ καὶ ὄνομα ποιησαμένῳ δεκάδι ἑκάστῃ,
in huts three and (a)-name having-made for-ten each

Γότθων τε καὶ Ῥωμαίων καὶ τῶν βασιλέως στρατιωτῶν,
of-Goths both and of-Romans and of-the of-(the)-emperor soldiers
ἡμέρας ῥητὰς ἡσυχῇ μένειν.
days stated quietly to-wait

9.5 Θευδάτος δὲ κατὰ ταῦτα ἐποίει. καὶ ἐπειδὴ παρῆν
Theodatus and according-to these(-things) did and when was-present
ἡ κυρία, ἐν οἷς οἰκίσκοις ἄμφω γενόμενοι ἐθεῶντο
the appointed(-day) in the huts both having-been they-viewed
τοὺς χοίρους, εὑρόν τε αὐτῶν οἷς μὲν τὸ Γότθων
the swine found both of-them those-to-whom indeed the of-Goths
ἐπῆν ὄνομα δυοῖν ἀπολελειμμένοιν νεκροὺς ἅπαντας,
was-on name two having-been-left-over dead all
ζῶντας δὲ ὀλίγων χωρὶς ἅπαντας ἐς οὓς τὸ τῶν
living and few without all to which the of-the
βασιλέως στρατιωτῶν ὄνομα ἦλθεν· ὅσοι μέντοι
of-(the)-emperor soldiers name came as-many-as however
Ῥωμαῖοι ἐκλήθησαν, τούτοις δὲ ξυνέβη ἀπορρυῆναι μὲν
Romans were-called to-these and it-befell to-have-fallen-out indeed
τὰς τρίχας ἅπασι, περιεῖναι δὲ ἐς ἥμισυ μάλιστα.
the hairs to-all to-survive and to (a)-half about

9.6 ταῦτα Θευδάτῳ θεασαμένῳ καὶ ξυμβαλλομένῳ τὴν τοῦ
these(-things) to-Theodatus having-viewed and conjecturing the of-the
πολέμου ἀπόβασιν δέος φασὶν ἐπελθεῖν μέγα, εὖ εἰδότι
war outcome fear they-say to-have-come-upon great well knowing
ὡς Ῥωμαίοις μὲν ξυμπεσεῖται πάντως τεθνήξεσθαί τε
that to-Romans indeed it-will-befall altogether to-be-dead both
κατὰ ἡμίσεας καὶ τῶν χρημάτων στερήσεσθαι, Γότθοις
by halves and of-the money to-be-deprived to-Goths
δὲ ἡσσωμένοις τὸ γένος ἐς ὀλίγους ἀποκεκρίσθαι, ἐς
and being-defeated the race to few to-have-been-reduced to

βασιλέα δέ, ὀλίγων οἱ στρατιωτῶν ἀπολουμένων, τὸ
(the)-emperor and few to-him soldiers going-to-perish the
τοῦ πολέμου ἀφίξεσθαι κράτος.
of-the war to-come mastery
καὶ διὰ τοῦτο Θευδάτῳ λέγουσιν οὐδεμίαν ὁρμὴν 9.7
and because-of this to-Theodatus they-say no impulse
ἐπιπεσεῖν ἐς ἀγῶνα Βελισαρίῳ καθίστασθαι. περὶ μὲν
to-have-fallen-upon into (a)-contest with-Belisarius to-enter about indeed
οὖν τούτων λεγέτω ἕκαστος ὥς πη ἐς αὐτὰ πίστεώς
then these(-things) let-say each-one as somehow toward them of-belief
τε καὶ ἀπιστίας ἔχει.
both and of-disbelief he-has
Βελισάριος δὲ Νεαπολίτας κατὰ γῆν τε καὶ θάλατταν 9.8
Belisarius and Neapolitans by land both and sea
πολιορκῶν ἤσχαλλεν. οὐ γάρ οἱ οὐδὲ προσχωρήσειν
besieging was-vexed not for to-him not-even to-come-over
ποτὲ αὐτοὺς ᾤετο, οὐ μὴν οὐδὲ ἁλώσεσθαι ἤλπιζεν, ἐπεὶ
ever them he-thought not indeed not-even to-be-taken he-hoped since
τοῦ χωρίου τὴν δυσκολίαν ἀντιστατοῦσαν ὡς μάλιστα εἶχε.
of-the place the difficulty opposing as most he-had
καὶ ὁ χρόνος αὐτὸν, τριβόμενος ἐνταῦθα, ἠνία, λογιζόμενον 9.9
and the time him being-spent there grieved reckoning
ὅπως μὴ χειμῶνος ὥρᾳ ἐπὶ Θευδάτον τε ἀναγκάζηται
so-that not of-winter in-(the)-season against Theodatus both he-be-compelled
καὶ Ῥώμην ἰέναι.
and Rome to-go
ἤδη δὲ καὶ τῷ στρατῷ ἐπήγγειλε συσκευάζεσθαι, μέλλων 9.10
already and also to-the army he-announced to-pack-up being-about
ἐνθένδε ὅτι τάχιστα ἀπαλλάσσεσθαι. καί οἱ ἐπὶ πλεῖστον
from-there as quickest to-depart and to-him at most
ἀπορουμένῳ εὐτυχίᾳ τοιᾷδε ξυνηνέχθη χρῆσθαι.
being-at-a-loss good-fortune such befell to-use

9.11 τῶν τινα Ἰσαύρων ἐπιθυμία ἔσχε τὴν τοῦ ὀχετοῦ
of-the one Isaurians (a)-desire seized the of-the aqueduct
οἰκοδομίαν θεάσασθαι, καὶ ὅντινα τρόπον τῇ πόλει τὴν
construction to-view and in-what way to-the city the
τοῦ ὕδατος χρείαν παρείχετο.
of-the water need it-supplied

9.12 ἐσβάς τε τῆς πόλεως ἄποθεν, ὅθεν αὐτὸν διέρρηξε
having-entered both from-the city far whence it broke
Βελισάριος, ἐβάδιζε πόνῳ οὐδενί, ἐπεὶ τὸ ὕδωρ αὐτὸν ἅτε
Belisarius he-walked with-toil no since the water it as
διερρωγότα ἐπελελοίπει.
broken-through had-left

9.13 ἐπεὶ δὲ ἄγχιστα τοῦ περιβόλου ἐγένετο, πέτρᾳ μεγάλῃ
when and nearest the circuit-wall he-came (a)-rock great
ἐνέτυχεν, οὐκ ἀνθρώπων χερσὶν ἐνταῦθα, ἀλλὰ πρὸς τῆς
he-came-upon not of-men by-hands there but by the
φύσεως τοῦ χωρίου ἀποτεθείσῃ.
nature of-the place laid-down

9.14 ταύτῃ τῇ πέτρᾳ οἱ τὸν ὀχετὸν δειμάμενοι πάλαι
to-this the rock the(-men) the aqueduct having-built of-old
τὴν οἰκοδομίαν ἐνάψαντες διώρυχα ἐνθένδε ἐποίουν, οὐκ
the construction having-fastened (a)-channel from-there made not
ἐς δίοδον μέντοι ἀνθρώπου ἱκανῶς ἔχουσαν, ἀλλ᾽ ὅσον
for passage however of-(a)-man sufficiently being but as-much-as
τῷ ὕδατι τὴν πορείαν παρέχεσθαι.
for-the water the course to-afford

9.15 καὶ διὰ τοῦτο ξυνέβαινεν οὐκ εὖρος τὸ αὐτὸ πανταχόσε
and because-of this it-befell not breadth the same everywhere
τοῦ ὀχετοῦ εἶναι, ἀλλὰ στενοχωρία ἐν τῇ πέτρᾳ ἐκείνῃ
of-the aqueduct to-be but (a)-narrow-place in the rock that

ὑπηντίαζεν, ἀνθρώπῳ, ἄλλως τε καὶ τεθωρακισμένῳ ἢ
confronted(-one) for-(a)-man especially — also wearing-a-breastplate or
ἀσπίδα φέροντι, ἀπόρευτος οὖσα.
(a)-shield carrying impassable being
ταῦτα τῷ Ἰσαύρῳ κατανοήσαντι οὐκ ἀμήχανα ἔδοξεν 9.16
these(-things) to-the Isaurian having-observed not impossible seemed
εἶναι τῷ στρατῷ ἐς τὴν πόλιν ἰέναι, ἢν ὀλίγῳ μέτρῳ
to-be for-the army into the city to-go if by-little measure
τὴν ἐκείνῃ διώρυχα εὐρυτέραν ποιήσωνται.
the there channel wider they-should-make
ἅτε δὲ αὐτὸς ἀφανής τε ὢν καὶ τῶν ἡγεμόνων οὐδενὶ 9.17
as and he-himself obscure both being and of-the leaders with-none
πώποτε ἐς λόγους ἥκων τὸ πρᾶγμα ἐς Παύκαριν
ever into talks having-come the matter to Paucaris
ἤνεγκεν, ἄνδρα Ἴσαυρον, ἐν τοῖς Βελισαρίου ὑπασπισταῖς
he-brought (a)-man Isaurian among the of-Belisarius shield-bearers
εὐδοκιμοῦντα. ὁ μὲν οὖν Παύκαρις τὸν πάντα λόγον
in-good-repute — indeed then Paucaris the whole account
αὐτίκα τῷ στρατηγῷ ἤγγειλε.
at-once to-the general reported
Βελισάριος δὲ τῇ τοῦ λόγου ἡδονῇ ἀναπνεύσας καὶ 9.18
Belisarius and at-the of-the account pleasure having-breathed-again and
χρήμασι μεγάλοις τὸν ἄνθρωπον δωρήσεσθαι ὑποσχόμενος
with-money great the man to-reward having-promised
ἐς τὴν πρᾶξιν ἦγε, καὶ αὐτὸν ἐκέλευεν Ἰσαύρων τινὰς
to the action led(-him) and him bade of-Isaurians some
ἑταιρισάμενον ἐκτομὴν ὡς τάχιστα τῆς πέτρας ποιεῖσθαι,
having-taken-as-companions (a)-cutting as quickest of-the rock to-make
φυλασσόμενον ὅπως τοῦ ἔργου μηδενὶ αἴσθησιν δώσουσι.
taking-care that of-the work to-no-one perception they-will-give

9.19 Παύκαρις δέ, Ἰσαύρους ἀπολεξάμενος πρὸς τὸ ἔργον
Paucaris and Isaurians having-chosen for the work
ἐπιτηδείως πάντη ἔχοντας, ἐντὸς τοῦ ὀχετοῦ σὺν αὐτοῖς
suitably in-every-way being within the aqueduct with them
λάθρα ἐγένετο.
secretly got

9.20 ἔς τε τὸν χῶρον ἐλθόντες, ἵνα δὴ τὴν στενοχωρίαν ἡ
to both the place having-come where indeed the narrow-place the
πέτρα ἐποίει, ἔργου εἶχοντο, οὐκ ἀξίναις τὴν πέτραν οὐδὲ
rock made to-work they-kept not with-axes the rock nor
πελέκεσι τέμνοντες, ὅπως μὴ ἔνδηλα τῷ κτύπῳ τοῖς
with-hatchets cutting so-that not evident by-the noise to-the
πολεμίοις ποιήσωσι τὰ πρασσόμενα, ἀλλὰ σιδηρίοις
enemies they-make the(-things) being-done but with-iron-tools
τισὶν ὀξέσιν αὐτὴν ἐνδελεχέστατα ξέοντες.
some sharp it most-persistently scraping

9.21 καὶ χρόνῳ ὀλίγῳ κατείργαστο, ὥστε ἀνθρώπῳ δυνατὰ
and in-time little it-had-been-accomplished so-that for-(a)-man possible
εἶναι θώρακά τε ἀμπεχομένῳ καὶ ἀσπίδα φέροντι ταύτῃ
to-be (a)-breastplate both wearing and (a)-shield carrying this-way
ἰέναι.
to-go

9.22 Ἐπειδὴ δὲ ἅπαντα ἤδη ὡς ἄριστα εἶχεν, ἔννοια
when and all(-things) already as best stood (a)-thought
Βελισαρίῳ ἐγένετο ὡς, ἢν πολέμῳ ἐς Νεάπολιν τῷ
to-Belisarius came that if in-war into Naples for-the
στρατῷ ἐσιτητὰ εἴη, τοῖς τε ἀνθρώποις ἀπολωλέναι
army accessible it-should-be to-the both men to-have-perished
ξυμβήσεται καὶ τἆλλα ξυμπεσεῖν ἅπαντα, ὅσα
it-will-befall and the-other(-things) to-happen all as-many-as
πόλει πρὸς πολεμίων ἁλούσῃ γίνεσθαι εἴωθε.
to-(a)-city by enemies taken to-happen are-wont

Στέφανόν τε εὐθὺς μεταπεμψάμενος ἔλεξε τοιάδε 9.23
Stephanus both at-once having-sent-for he-said such(-things)
“Πολλάκις εἶδον πόλεις ἁλούσας καὶ τῶν τηνικαῦτα
often I-saw cities taken and of-the(-things) at-that-time
γινομένων εἰμὶ ἔμπειρος.
happening I-am experienced
τοὺς μὲν γὰρ ἄνδρας ἀναιροῦσιν ἡβηδὸν ἅπαντας, 9.24
the indeed for men they-kill from-youth-up all
γυναῖκας δὲ θνήσκειν αἰτουμένας οὐκ ἀξιοῦσι κτείνειν,
women and to-die begging not they-deign to-kill
ἀλλ’ ἐς ὕβριν ἀγόμεναι πάσχουσιν ἀνήκεστά τε καὶ
but into outrage led they-suffer irreparable(-things) both and
ἐλέου πολλοῦ ἄξια.
of-pity much worthy
παῖδας δὲ οὔτε τροφῆς οὔτε παιδείας οὕτω μεταλαχόντας 9.25
children and neither of-nurture nor of-education thus having-had-a-share
δουλεύειν ἀνάγκη, καὶ ταῦτα τοῖς πάντων ἐχθίστοις,
to-be-slaves (it-is)-necessity and this to-the of-all most-hateful
ὧν ἐν ταῖς χερσὶ τὸ τῶν πατέρων αἷμα τεθέανται.
in-whose in the hands the of-the fathers blood they-have-seen
ἐῶ γάρ, ὦ φίλε Στέφανε, λέγειν τὸ πῦρ, ᾧ 9.26
I-pass-over for O dear Stephanus to-speak-of the fire by-which
τά τε ἄλλα χρήματα καὶ τὸ τῆς πόλεως ἀφανίζεται
the both other possessions and the of-the city is-destroyed
κάλλος. ταῦτα Νεάπολιν τήνδε ὥσπερ ἐν κατόπτρῳ
beauty these(-things) Naples this as in (a)-mirror
ταῖς πρότερον ἁλούσαις πόλεσιν ὁρῶν πάσχουσαν, αὐτῆς
in-the earlier taken cities seeing suffering of-it
τε καὶ ὑμῶν ἐς οἶκτον ἥκω.
both and of-you to pity I-come

9.27 μηχαναὶ γάρ μοι πεποίηνται νῦν ἐς αὐτήν, ἣν μὴ
engines for by-me have-been-made now against it which not
οὐχὶ ἁλῶναι ἀδύνατον. πόλιν δὲ ἀρχαίαν καὶ οἰκήτορας
not to-be-taken (is)-impossible (a)-city and ancient and inhabitants
Χριστιανούς τε καὶ Ῥωμαίους ἄνωθεν ἔχουσαν ἐς τοῦτο
Christians both and Romans from-of-old having to this
τύχης οὐκ ἂν εὐξαίμην, ἄλλως τε καὶ ὑπ᾽ ἐμοῦ Ῥωμαίων
of-fortune not — I-would-pray especially — also under me of-Romans
στρατηγοῦντος, ἐλθεῖν, μάλιστα ἐπεὶ βάρβαροι πολλοί μοι
being-general to-come most since barbarians many with-me
τὸ πλῆθος ἐν τῷ στρατοπέδῳ εἰσίν, ἀδελφοὺς ἢ ξυγγενεῖς
the number in the camp are brothers or kinsmen
πρὸ τοῦδε ἀπολωλεκότες τοῦ τείχους· ὧν δὴ κατέχειν
before this having-lost the wall of-whom indeed to-restrain
τὸν θυμόν, ἢν πολέμῳ τὴν πόλιν ἕλωσιν, οὐκ ἂν δυναίμην.
the rage if in-war the city they-take not — I-could
9.28 οὐκοῦν ἕως ἔτι τὸ τὰ ξυνοίσοντα ἑλέσθαι τε
therefore while still the(-thing) the(-things) going-to-be-advantageous to-choose both
καὶ πράσσειν ἐφ᾽ ὑμῖν ἐστι, βουλεύσασθε μὲν τὰ βελτίω,
and to-do in you it-is plan indeed the better(-things)
φύγετε δὲ ξυμφοράν· ἧς, ὡς τὸ εἰκός, ξυμπιπτούσης ὑμῖν οὐ
flee and misfortune which as the likely befalling you not
τὴν τύχην δικαίως, ἀλλὰ τὴν ὑμετέραν αἰτιάσεσθε γνώμην.”
the fortune justly but the your you-will-blame judgment
9.29 τοσαῦτα εἰπὼν Βελισάριος Στέφανον ἀπεπέμψατο. ὃς
so-much having-said Belisarius Stephanus sent-away who
ἐς Νεαπολιτῶν τὸν δῆμον παρῆλθε δεδακρυμένος τε καὶ
to of-Neapolitans the people went-forward having-wept both and
πάντα ξὺν οἰμωγῇ ἀγγέλλων ὅσα Βελισαρίου λέγοντος
all(-things) with lamentation reporting as-many-as Belisarius saying
ἤκουσεν.
he-heard

οἱ δὲ (οὐδὲ γὰρ χρῆν Νεαπολίτας ἀθῴους βασιλεῖ 9.30
they and not-even for it-was-fated Neapolitans unpunished to-(the)-emperor
κατηκόους γενέσθαι) οὔτε ἔδεισάν τι οὔτε Βελισαρίῳ
subject to-become neither feared anything nor to-Belisarius
προσχωρεῖν ἔγνωσαν.
to-come-over decided

V · NAPLES TAKEN; VITTIGIS KING

Men under Magnus and Ennes climb out of the aqueduct and Naples falls; Belisarius checks the slaughter, Pastor dies of a stroke, and the people tear Asclepiodotus apart. The Goths raise Vittigis, and Optaris kills Theodatus on the road. Vittigis leaves Leuderis in Rome and marries Matasuntha at Ravenna, but fear of the Franks pins his Goths in Gaul.

Τότε δὴ καὶ αὐτὸς τὰ ἐς τὴν εἴσοδον κατεστήσατο 10.1
then indeed also he-himself the(-things) for the entry arranged
ὧδε. ἄνδρας ἀμφὶ τετρακοσίους ἀπολεξάμενος περὶ λύχνων
thus men about four-hundred having-chosen about of-lamps
ἁφὰς καὶ ἄρχοντε αὐτοῖς ἐπιστήσας Μάγνον τε, ὃς ἱππικοῦ
lighting and commanders over-them having-set Magnus both who of-(a)-cavalry
καταλόγου ἡγεῖτο, καὶ τὸν τῶν Ἰσαύρων ἀρχηγὸν Ἔννην,
roll led and the of-the Isaurians leader Ennes
θωρακίσασθαί τε ἅπαντας καὶ τάς τε ἀσπίδας τά τε
to-put-on-breastplates both all and the both shields the both
ξίφη ἀνελομένους ἡσυχάζειν, ἄχρι αὐτὸς σημήνῃ, ἐκέλευε.
swords having-taken-up to-keep-quiet until he-himself should-signal he-bade

10.2 καὶ Βέσσαν μεταπεμψάμενος αὐτοῦ μένειν ἐπήγγειλε·
and Bessas having-sent-for there to-remain he-enjoined
βούλεσθαι γὰρ ξὺν αὐτῷ βουλήν τινα περὶ τοῦ στρατοπέδου
to-wish for with him council some about the camp
ποιήσασθαι·
to-hold

10.3 καὶ ἐπειδὴ πόρρω ἦν τῶν νυκτῶν, Μάγνῳ τε καὶ Ἔννῃ
and when far it-was of-the nights to-Magnus both and to-Ennes
τὰ σφίσι παρόντα εἰπὼν καὶ τὸ χωρίον ἐπιδείξας,
the(-things) for-them present having-told and the place having-shown
οὗ πρότερον διελὼν τὸν ὀχετὸν ἔτυχε, τοῖς τετρακοσίοις
where earlier having-cut the aqueduct he-happened to-the four-hundred
ἐς τὴν πόλιν ἐξηγήσασθαι, λύχνα ἀνελομένους, ἐκέλευε.
into the city to-lead-the-way lamps having-taken-up he-bade

10.4 καὶ ἄνδρας δύο ταῖς σάλπιγξι χρῆσθαι ἐπισταμένους
and men two the trumpets to-use knowing-how
ξὺν αὐτοῖς ἔπεμψεν, ὅπως, ἐπειδὰν τοῦ περιβόλου ἐντὸς
with them he-sent so-that when the circuit-wall inside
γένωνται, τήν τε πόλιν ξυνταράξαι καὶ τὰ
they-should-be the both city to-throw-into-confusion and the(-things)
πρασσόμενα σημῆναι σφίσιν οἵοί τε ὦσιν.
being-done to-signal to-them able — they-might-be

10.5 αὐτὸς δὲ κλίμακας ὅτι πλείστας πρότερον πεποιημένας ἐν
he-himself and ladders as most earlier made in
παρασκευῇ εἶχεν. οἱ μὲν οὖν ἐς τὸν ὀχετὸν ὑποδύντες
readiness had they indeed then into the aqueduct having-gone-under
ἐπὶ τὴν πόλιν ἐβάδιζον, αὐτὸς δὲ ξὺν τῷ Βέσσᾳ καὶ
toward the city walked he-himself and with — Bessas and
Φωτίῳ αὐτοῦ ἔμενε καὶ ξὺν αὐτοῖς ἅπαντα ἔπρασσε.
Photius there stayed and with them all(-things) did

πέμψας δὲ καὶ ἐς τὸ στρατόπεδον, ἐγρηγορέναι τε καὶ 10.6
having-sent and also to the camp to-keep-awake both and
τὰ ὅπλα ἐν χερσὶν ἔχειν ἐπέταττε. καὶ πολλοὺς μέντοι
the arms in hands to-have he-ordered and many however
ἀμφ' αὑτὸν εἶχεν, οὓς δὴ εὐτολμοτάτους ᾤετο εἶναι,
about himself he-had whom indeed most-daring he-thought to-be
τῶν δὲ ἐπὶ τὴν πόλιν ἰόντων οἱ ὑπὲρ ἥμισυ
of-the(-men) and toward the city going the(-ones) beyond half
κατωρρωδηκότες τὸν κίνδυνον ὀπίσω ἀπεκομίζοντο.
having-dreaded the danger back went-off
οὓς ἐπεὶ Μάγνος ἕπεσθαί οἱ, καίπερ πολλὰ παραινέσας, 10.7
whom when Magnus to-follow him although much having-exhorted
οὐκ ἔπειθε, παρὰ τὸν στρατηγὸν ξὺν αὐτοῖς ἐπανῆκε.
not he-persuaded to the general with them he-returned
τούτους δὲ Βελισάριος κακίσας καὶ τῶν ἀμφ' 10.8
these and Belisarius having-reproached and of-the(-men) about
αὑτὸν ἀπολέξας διακοσίους σὺν Μάγνῳ ἰέναι ἐκέλευεν.
himself having-chosen two-hundred with Magnus to-go he-bade
ὧν δὴ καὶ Φώτιος ἡγεῖσθαι θέλων, ἐς τὴν διώρυχα
of-whom indeed also Photius to-lead wishing into the channel
ἐσεπήδησεν· ἀλλὰ Βελισάριος αὐτὸν διεκώλυσεν.
leapt but Belisarius him prevented
αἰσχυνθέντες δὲ τοῦ τε στρατηγοῦ καὶ Φωτίου τὴν 10.9
having-been-shamed and of-the both general and of-Photius the
λοιδορίαν καὶ ὅσοι τὸν κίνδυνον ἔφευγον, αὖθις αὐτὸν
reviling also as-many-as the danger fled again it
ὑποστῆναι τολμήσαντες ξὺν αὐτοῖς εἵποντο.
to-undergo having-dared with them followed
Βελισάριος δὲ δείσας μὴ τῶν πολεμίων τισὶ τῶν 10.10
Belisarius and having-feared lest of-the enemies to-some of-the(-things)
πρασσομένων αἴσθησις γένηται, οἳ δὴ ἐς τὸν πύργον
being-done perception should-come who indeed in the tower

φυλακὴν εἶχον ὃς τοῦ ὀχετοῦ ἄγχιστα ἐτύγχανεν ὤν,
(a)-guard had which of-the aqueduct nearest happened being
ἐνταῦθά τε ἦλθε καὶ Βέσσαν ἐκέλευε τῇ Γότθων φωνῇ
there both came and Bessas he-bade in-the of-Goths tongue
διαλέγεσθαι τοῖς ταύτῃ βαρβάροις, ὅπως δὴ μή τις
to-converse with-the there barbarians so-that indeed not any
αὐτοῖς ἐκ τῶν ὅπλων πάταγος ἔναυλος εἴη.
to-them from the arms clatter in-the-ears might-be

10.11 καὶ Βέσσας μὲν αὐτοῖς ἀναβοήσας μέγα προσχωρεῖν
and Bessas indeed to-them having-shouted loudly to-come-over
Βελισαρίῳ παρήνει, πολλὰ σφίσιν ἐπαγγελλόμενος ἀγαθὰ
to-Belisarius exhorted many to-them promising good(-things)
ἔσεσθαι.
to-be

10.12 οἱ δὲ ἐτώθαζον, πολλὰ ἐς Βελισάριόν τε καὶ βασιλέα
they and jeered many(-insults) at Belisarius both and (the)-emperor
ὑβρίζοντες. ταῦτα μὲν οὖν Βελισαρίῳ καὶ Βέσσᾳ
hurling these(-things) indeed then by-Belisarius and Bessas
ἐπράσσετο τῇδε.
were-done thus

10.13 Ὁ δὲ Νεαπόλεως ὀχετὸς οὐκ ἄχρι ἐς τὸ τεῖχος καλύπτεται
the and of-Naples aqueduct not up to the wall is-covered
μόνον, ἀλλ᾽ οὕτω τῆς πόλεως ἐπὶ πλεῖστον διήκει, κύρτωμα
only but thus of-the city to most reaches (a)-vault
ἐκ πλίνθου ὠπτημένης ὑψηλὸν ἔχων, ὥστε γενόμενοι ἐντὸς
from brick baked high having so-that having-come inside
τοῦ περιβόλου οἱ ἀμφὶ Μάγνον τε καὶ Ἔννην ἅπαντες
the circuit-wall the(-men) about Magnus both and Ennes all
οὐδὲ ὅπου ποτὲ γῆς εἰσι ξυμβάλλεσθαι ἐδύναντο.
not-even where ever of-earth they-are to-make-out were-able

οὐ μὴν οὐδέ πη ἀποβαίνειν ἐνθένδε εἶχον, ἕως οἱ 10.14
not indeed not-even anywhere to-get-out from-there they-could until the
πρῶτοι ἐς χῶρον ἵκοντο, οὗ τὸν ὀχετὸν ἀνώροφον
first(-men) to (a)-place came where the aqueduct roofless
ξυνέπεσεν εἶναι καὶ οἴκημα ἦν κομιδῇ ἀπημελημένον.
it-befell to-be and (a)-dwelling was quite neglected
ἐνταῦθα ἔσω γυνή τις ᾤκει, μόνη τε οὖσα καὶ 10.15
there within woman (a)-certain lived alone both being and
πενίᾳ πολλῇ ξυνοικοῦσα, καὶ δένδρον ἐλαίας καθύπερθεν
with-poverty much living-together and (a)-tree of-olive above
τοῦ ὀχετοῦ ἐπεφύκει.
the aqueduct had-grown
οὗτοι ἐπειδὴ τόν τε οὐρανὸν εἶδον καὶ ἐν μέσῃ 10.16
these when the both sky they-saw and in (the)-middle
πόλει ἤσθοντο εἶναι, ἐκβαίνειν μὲν διενοοῦντο, μηχανὴν
city perceived to-be to-get-out indeed they-intended means
μέντοι οὐδεμίαν εἶχον, ἄλλως τε καὶ ξὺν τοῖς ὅπλοις,
however none they-had especially — also with the arms
τοῦ ὀχετοῦ ἀπαλλάσσεσθαι. ὑψηλὴ γάρ τις ἐνταῦθα ἡ
from-the aqueduct to-get-free high for some there the
οἰκοδομία ἔτυχεν οὖσα καὶ οὐδὲ ἀνάβασίν τινα ἔχουσα.
structure happened being and not-even ascent any having
τῶν δὲ στρατιωτῶν ἐπὶ πλεῖστον ἀπορουμένων καὶ ἐς 10.17
the and soldiers at most being-at-a-loss and into
στενοχωρίαν πολλὴν ξυνιόντων (ἤδη γὰρ καὶ τῶν
narrow-space much coming-together already for also of-the(-men)
ὄπισθεν ἰόντων πολύς τις ξυνέρρει ὅμιλος), ἐγένετο
behind going great some was-streaming-together crowd it-came
αὐτῶν τινι ἔννοια τῆς ἀνόδου ἀποπειράσασθαι.
of-them to-one (a)-thought the ascent to-try

10.18 καταθέμενος οὖν αὐτίκα τὰ ὅπλα, ταῖς τε χερσὶ καὶ
having-laid-down then at-once the arms with-the both hands and
τοῖς ποσὶ τὴν ἀνάβασιν βιασάμενος, ἐς τὸ τῆς γυναικὸς
with-the feet the climb having-forced into the of-the woman
οἴκημα ἦλθε.
dwelling he-came

10.19 καὶ αὐτὴν ἐνταῦθα ἰδών, ἢν μὴ σιωπῴη, κτείνειν ἠπείλησεν.
and her there having-seen if not she-be-silent to-kill he-threatened
ἡ δὲ καταπλαγεῖσα ἄφωνος ἔμεινε. καὶ ὃς ἐκ τοῦ πρέμνου
she and terrified voiceless remained and he from the trunk
τῆς ἐλαίας ἱμάντα τινὰ ἰσχυρὸν ἀναψάμενος τὴν ἑτέραν
of-the olive strap (a)-certain strong having-fastened the other
τοῦ ἱμάντος ἀρχὴν ἐς τὸν ὀχετὸν ἔρριψεν. οὗ δὴ
of-the strap end into the aqueduct threw which indeed
λαβόμενος τῶν στρατιωτῶν ἕκαστος ἀνέβαινε μόλις.
having-taken-hold-of of-the soldiers each climbed-up with-difficulty

10.20 ἐπεὶ δὲ ἀναβεβήκεσαν ἅπαντες τῆς τε νυκτὸς τὸ
when and they-had-climbed-up all of-the both night the
τεταρτημόριον ἔτι ἐλείπετο, χωροῦσιν ἐπὶ τὸ τεῖχος·
fourth-part still was-left they-go toward the wall
καὶ πύργων δύο τοὺς φύλακας, οὐδέν τι αἰσθανομένους
and of-towers two the guards nothing at-all perceiving
τοῦ κακοῦ, κτείνουσιν ἀμφὶ τὰ πρὸς βορρᾶν τοῦ
of-the evil they-kill about the(-parts) toward north of-the
περιβόλου, ἔνθα Βελισάριος ξὺν τῷ Βέσσᾳ καὶ Φωτίῳ
circuit-wall where Belisarius with — Bessas and Photius
εἱστήκει, καραδοκῶν τὰ πρασσόμενα.
stood awaiting the(-things) being-done

καὶ οἱ μὲν τὸ στράτευμα ἐπὶ τὸ τεῖχος ταῖς σάλπιγξιν 10.21
and they indeed the army to the wall with-the trumpets
ἐκάλουν, Βελισάριος δὲ τῷ περιβόλῳ τὰς κλίμακας
called Belisarius and against-the circuit-wall the ladders
ἐρείσας τοὺς στρατιώτας ἐνθένδε ἀναβαίνειν ἐκέλευε.
having-set the soldiers from-there to-climb bade
τῶν δὲ κλιμάκων οὐδεμίαν διήκειν ἄχρι ἐς τὰς ἐπάλξεις 10.22
of-the and ladders none to-reach up to the battlements
ξυνέβαινεν. ἅτε γὰρ αὐτὰς οὐκ ἐκ τοῦ ἐμφανοῦς οἱ
it-befell as for them not from the open the
τεχνῖται ποιούμενοι μέτρου τοῦ καθήκοντος οὐχ οἷοί τε
craftsmen making of-measure the proper not able —
ἐξικνεῖσθαι ἐγένοντο.
to-reach were
διόπερ δύο ἐς ἀλλήλας ξυνδέοντες καὶ ἐπ᾽ ἀμφοῖν 10.23
wherefore two to each-other binding-together and on both
ἀναβαίνοντες οὕτω δὴ τῶν ἐπάλξεων καθυπέρτεροι οἱ
climbing thus indeed than-the battlements higher the
στρατιῶται ἐγένοντο. ταῦτα μὲν οὖν Βελισαρίῳ ἐφέρετο
soldiers became these(-things) indeed then for-Belisarius went
τῇδε.
thus
Ἐς δὲ τὰ πρὸς θάλασσαν τοῦ περιβόλου, ἔνθα 10.24
toward and the(-parts) toward (the)-sea of-the circuit-wall where
οὐχ οἱ βάρβαροι, ἀλλὰ Ἰουδαῖοι φυλακὴν εἶχον, οὔτε
not the barbarians but Jews (a)-guard had neither
ταῖς κλίμαξι χρῆσθαι οὔτε ἀναβαίνειν ἐς τὸ τεῖχος οἱ
the ladders to-use nor to-climb onto the wall the
στρατιῶται ἐδύναντο.
soldiers were-able

10.25 οἱ γὰρ Ἰουδαῖοι τοῖς πολεμίοις ἤδη προσκεκρουκότες,
the for Jews with-the enemies already having-collided
ἐμπόδιοί τε γεγενημένοι ὅπως μὴ τὴν πόλιν ἀμαχητὶ
obstacles both having-become so-that not the city without-a-fight
ἕλωσι, καὶ ἀπ᾽ αὐτοῦ ἐλπίδα οὐδεμίαν ἦν ὑπ᾽ αὐτοῖς
they-take and from this hope none if under them
ὦσιν ἔχοντες, καρτερῶς τε, καίπερ αὐτοῖς τῆς πόλεως
they-should-be having stoutly both although for-them the city
ἤδη ἁλούσης, ἐμάχοντο καὶ τῇ τῶν ἐναντίων προσβολῇ
already taken they-fought and the of-the opponents assault
παρὰ δόξαν ἀντεῖχον.
contrary-to expectation withstood

10.26 ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τῶν ἀναβεβηκότων τινὲς ἐπ᾽
when and day came and of-the(-men) having-climbed-up some against
αὐτοὺς ἦεσαν, οὕτω δὴ καὶ αὐτοὶ ὄπισθεν βαλλόμενοι
them went thus indeed also they-themselves from-behind being-shot
ἔφευγον, καὶ κατὰ κράτος Νεάπολις ἥλω. καὶ τῶν πυλῶν
fled and by force Naples was-taken and the gates
ἤδη ἀνακεκλιμένων ἅπας ὁ Ῥωμαίων στρατὸς εἰσῄει.
already having-been-opened all the of-Romans army entered

10.27 ὅσοι δὲ ἀμφὶ πύλας ἐτετάχατο τὰς πρὸς ἀνίσχοντα
as-many-as and about (the)-gates had-been-posted the toward rising
ἥλιον τετραμμένας, ἐπεὶ κλίμακες σφίσι παροῦσαι οὐδαμῇ
sun turned since ladders to-them present in-no-way
ἔτυχον, ταύτας δὴ τὰς πύλας ἀφυλάκτους παντάπασιν
happened these indeed the gates unguarded altogether
οὔσας ἔκαυσαν.
being they-burned

10.28 ἔρημον γὰρ ἀνδρῶν τὸ ἐκείνῃ τεῖχος, ἅτε τῶν φυλάκων
empty for of-men the there wall as the guards
δρασμῷ χρησαμένων, ἐγένετο·
to-flight having-had-recourse became

φόνος τε ἐνταῦθα πολὺς ἐγεγόνει. θυμῷ γὰρ ἐχόμενοι 10.29
slaughter both there great had-taken-place by-rage for held
ἅπαντες, ἄλλως τε καὶ ὅσοις ἀδελφόν τινα ἢ ξυγγενῆ
all especially — also those-to-whom brother some or kinsman
ἀποθανεῖν τειχομαχοῦντα τετύχηκε, τὸν ἐν ποσὶν ἀεί,
to-die fighting-at-the-wall had-befallen the(-one) at feet always
οὐδεμιᾶς ἡλικίας φειδόμενοι, ἔκτεινον, ἔς τε τὰς οἰκίας
no age sparing they-killed into both the houses
ἐσβάλλοντες παῖδας μὲν καὶ γυναῖκας ἠνδραπόδισαν, τὰ δὲ
bursting children indeed and women they-enslaved the and
χρήματα ἐληίσαντο, καὶ πάντων μάλιστα οἱ Μασσαγέται,
money plundered and of-all most the Massagetae
οἳ οὐδὲ τῶν ἱερῶν ἀπεχόμενοι πολλοὺς τῶν ἐς
who not-even from-the sanctuaries keeping-away many of-the(-ones) into
αὐτὰ φυγόντων ἀνεῖλον, ἕως Βελισάριος πανταχόσε περιὼν
them having-fled killed until Belisarius everywhere going-around
διεκώλυσέ τε καὶ ξυγκαλέσας ἅπαντας ἔλεξε τοιάδε
prevented both and having-called-together all said such(-things)
“ Ἐπειδὴ νενικηκέναι τε ἡμῖν δέδωκεν ὁ θεὸς καὶ ἐπὶ 10.30
since to-have-conquered both to-us has-given — God and to
πλεῖστον εὐδοξίας ἀφῖχθαι, πόλιν ἀνάλωτον πρότερον οὖσαν
(the)-height of-glory to-have-come (a)-city impregnable before being
ὑποχειρίαν ἡμῖν ποιησάμενος, ἀναγκαῖον καὶ ἡμᾶς τὸ μὴ
subject to-us having-made (it-is)-necessary also us the not
ἀναξίους εἶναι τῆς χάριτος, ἀλλὰ τῇ ἐς τοὺς ἡσσημένους
unworthy to-be of-the grace but by-the toward the defeated
φιλανθρωπίᾳ τὸ δικαίως κεκρατηκέναι τούτων ἐνδείκνυσθαι.
humanity the justly to-have-prevailed over-these to-display

10.31 μὴ τοίνυν ἀπέραντα Νεαπολίτας μισήσητε, μηδὲ ὑπερόριον
not therefore endlessly Neapolitans hate nor beyond-the-bounds
τοῦ πολέμου τὸ ἐς αὐτοὺς ἔχθος ποιήσητε. τοὺς γὰρ
of-the war the toward them hatred make the for
ἡσσημένους οὐδεὶς τῶν νενικηκότων ἔτι μισεῖ.
defeated no-one of-the(-men) having-conquered still hates
10.32 κτείνοντές τε αὐτοὺς οὐ πολεμίων ἀπαλλαγήσεσθε τὸ
killing both them not of-enemies you-will-be-rid the
λοιπόν, ἀλλὰ θανάτῳ ζημιωθήσεσθε τῶν ὑπηκόων. οὐκοῦν
rest but with-death you-will-be-fined of-the subjects therefore
ἀνθρώπους τούσδε μηδὲν ἐργάσησθε περαιτέρω κακόν,
men these nothing do further evil
μηδὲ τῇ ὀργῇ πάντα χαρίζεσθε.
nor to-the anger all(-things) gratify
10.33 αἰσχρὸν γὰρ τῶν μὲν πολεμίων κρατεῖν, τοῦ δὲ θυμοῦ
shameful for the indeed enemies to-master of-the and rage
ἥσσους φαίνεσθαι. ὑμῖν δὲ χρήματα μὲν τὰ ἄλλα γινέσθω
weaker to-appear to-you and money indeed the other let-be
τῆς ἀρετῆς ἆθλα, γυναῖκες δὲ τοῖς ἀνδράσι ξὺν τοῖς παισὶν
of-the valor prizes wives and to-the husbands with the children
ἀποδιδόσθων. μανθανέτωσαν δὲ οἱ νενικημένοι τοῖς
let-be-given-back let-learn and the(-men) conquered by-the
πράγμασιν ἡλίκων ἐξ ἀβουλίας ἐστέρηνται φίλων."
facts of-how-great-sort from folly they-have-been-deprived friends
10.34 τοσαῦτα εἰπὼν Βελισάριος τάς τε γυναῖκας καὶ τὰ
so-much having-said Belisarius the both wives and the
παιδία καὶ τὰ ἄλλα ἀνδράποδα Νεαπολίταις πάντα
children and the other slaves to-Neapolitans all
ἀφῆκεν, ὕβρεως οὐδεμιᾶς ἐς πεῖραν ἐλθόντα, καὶ αὐτοῖς
released of-outrage no to trial having-come and with-them
τοὺς στρατιώτας διήλλαξεν.
the soldiers reconciled

οὕτω τε Νεαπολίταις ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ 10.35
thus both for-Neapolitans it-befell on-that the day
αἰχμαλώτοις τε γενέσθαι καὶ τὴν ἐλευθερίαν ἀνασώσασθαι
captives both to-become and the freedom to-recover
καὶ τῶν χρημάτων τὰ τιμιώτατα ἀνακτήσασθαι.
and of-the possessions the most-precious to-regain
ἐπεὶ αὐτῶν ὅσοι χρυσὸν ἢ ἄλλο τι τῶν τιμίων 10.36
since of-them as-many-as gold or other any of-the precious(-things)
ἔχοντες ἔτυχον, οὗτοι δὴ τὰ πρότερα ἐς γῆν κατορύξαντες
having happened these indeed the earlier(-times) in earth having-buried
ἀπεκρύψαντο, καὶ ταύτῃ τοὺς πολεμίους λαθεῖν ἴσχυσαν
hid and in-this-way the enemies to-escape-notice were-able
αὐτοῖς χρήμασι τὰς οἰκίας ἀπολαβόντες. ἥ τε πολιορκία
with-the-very money the houses having-received-back the both siege
ἐς ἡμέρας μάλιστα εἴκοσι κατατείνασα ἐς τοῦτο ἐτελεύτα.
to days about twenty having-stretched to this ended
Γότθους δὲ τοὺς τῇδε ἁλόντας οὐχ ἥσσους ἢ ὀκτακοσίους 10.37
Goths and the(-ones) here taken not fewer than eight-hundred
ὄντας κακῶν ἀπαθεῖς Βελισάριος παντάπασι διαφυλάξας,
being of-evils unharmed Belisarius altogether having-preserved
οὐκ ἐλασσόνως ἢ τοὺς στρατιώτας τοὺς αὑτοῦ ἐν τιμῇ εἶχε.
not less than the soldiers the his-own in honor held
Πάστωρ δέ, ὃς ἐς ἀπόνοιαν, ὡς πρότερόν μοι δεδήλωται, 10.38
Pastor and who to madness as earlier by-me has-been-shown
τὸν δῆμον ἐνῆγεν, ἐπεὶ τὴν πόλιν ἁλισκομένην εἶδεν, ἐς
the people led when the city being-taken he-saw into
ἀποπληξίαν ἐξέπεσε καὶ ἐξαπίνης ἀπέθανεν, οὔτε νοσήσας
apoplexy fell and suddenly died neither having-been-sick
πρότερον οὔτε ἄλλο τι πρὸς οὐδενὸς παθὼν ἄχαρι.
before nor other anything from anyone having-suffered unpleasant

10.39 Ἀσκληπιόδοτος δέ, ὃς ξὺν αὐτῷ ταῦτα ἔπρασσε, ξὺν
Asclepiodotus and who with him these(-things) did with
τῶν λογίμων τοῖς περιοῦσι παρὰ Βελισάριον ἦλθε.
of-the notable(-men) the surviving to Belisarius came
10.40 καὶ αὐτῷ Στέφανος ἐπιτωθάζων ἐλοιδορεῖτο ὧδε "Ὅρα,
and him Stephanus jeering reviled thus see
ὦ κάκιστε ἀνθρώπων ἁπάντων, οἷα κακὰ τὴν πατρίδα
O basest of-men all what evils the fatherland
εἰργάσω, τῆς ἐς Γότθους εὐνοίας τὴν τῶν πολιτῶν
you-have-done of-the toward Goths goodwill the of-the citizens
ἀποδόμενος σωτηρίαν.
having-sold safety
10.41 εἶτα εἰ μὲν τοῖς βαρβάροις εὖ ἐγεγόνει τὰ πράγματα,
then if indeed for-the barbarians well had-gone the affairs
ἠξίωσας ἂν ἔμμισθός τε αὐτὸς πρὸς ἐκείνων εἶναι
you-would-have-thought-fit — hired both yourself by them to-be
καὶ ἡμῶν ἕκαστον τῶν τὰ βελτίω βεβουλευμένων
and of-us each of-the(-men) the better(-things) having-counseled
τῆς ἐς τοὺς Ῥωμαίους προδοσίας ὑπαγαγεῖν.
of-the toward the Romans treason to-bring-to-trial
10.42 ἐπεὶ δὲ τὴν μὲν πόλιν βασιλεὺς εἶλε, σεσώσμεθα δὲ
since and the indeed city (the)-emperor took we-have-been-saved and
τῇ τοῦδε τοῦ ἀνδρὸς ἀρετῇ, οὕτω δὲ εἰσελθεῖν παρὰ
by-the of-this the man valor thus and to-come to
τὸν στρατηγὸν ἀνεπισκέπτως ἐτόλμησας ἅτε οὐδὲν δεινὸν
the general without-forethought you-dared as nothing terrible
οὔτε Νεαπολίτας οὔτε τὸ βασιλέως διαπεπραγμένος
neither Neapolitans nor the of-(the)-emperor having-done-to
στρατόπεδον, ἀξίας τίσεις δίκας."
camp worthy you-will-pay penalty

Στέφανος μὲν τῇ ξυμφορᾷ περιώδυνος ὢν ἐς 10.43
Stephanus indeed at-the misfortune deeply-grieved being at
Ἀσκληπιόδοτον ταῦτα ἀπέρριψεν. ὁ δὲ αὐτὸν ἀμείβεται
Asclepiodotus these(-things) hurled he and him answers
τοῖσδε "Λέληθας σαυτὸν ἐγκωμιάζων ἡμᾶς, ὦ
with-these you-have-escaped-your-own-notice yourself praising us O
γενναῖε, οἷς δὴ εὔνοιαν τὴν ἐς τοὺς Γότθους ἡμῖν
noble(-sir) in-that indeed goodwill the toward the Goths to-us
ὀνειδίζεις.
you-reproach
εὔνους γάρ τις δεσπόταις κινδυνεύουσιν, εἰ μὴ ἐκ τοῦ 10.44
well-disposed for anyone to-masters being-in-danger if not from the
βεβαίου τῆς γνώμης, οὐκ ἄν ποτε εἴη. ἐμὲ μὲν οὖν
firmness of-the judgment not — ever would-be me indeed then
οἱ κρατοῦντες τοιοῦτον τῆς πολιτείας φύλακα ἕξουσιν
the(-men) prevailing such of-the state (a)-guardian will-have
οἷον ἀρτίως πολέμιον εὗρον, ἐπεὶ ὁ τῇ φύσει τὸ
as just-now (an)-enemy they-found since the(-one) by-the nature the
πιστὸν ἔχων οὐ ξυμμεταβάλλει τῇ τύχῃ τὴν γνώμην.
faithfulness having not changes-along-with the fortune the judgment
σὺ δὲ τῶν πραγμάτων οὐχ ὁμοίως αὐτοῖς φερομένων 10.45
you and the affairs not alike for-them going
ἑτοίμως ἂν τοὺς τῶν ἐπιόντων ἐνδέξαιο λόγους. ὁ
readily — the of-the(-men) attacking would-accept proposals the(-one)
γὰρ τὸ τῆς διανοίας νοσῶν ἄστατον ἅμα τε ἔδεισε καὶ
for the of-the mind being-sick unstable together both feared and
τὴν ἐς τοὺς φιλτάτους ἠρνήσατο πίστιν."
the toward the dearest denied faith
τοσαῦτα μὲν καὶ Ἀσκληπιόδοτος εἶπε. Νεαπολιτῶν δὲ 10.46
so-much indeed also Asclepiodotus said of-Neapolitans and
ὁ δῆμος, ἐπεὶ αὐτὸν ἐνθένδε ἀναχωροῦντα εἶδον, ἀθρόοι
the people when him from-there withdrawing they-saw in-a-body

γενόμενοι, ἅπαντα αὐτῷ ἐπεκάλουν τὰ παρόντα
having-become all(-things) to-him charged the(-things) present
σφίσι. καὶ οὐ πρότερον ἀπέστησαν, πρὶν δὴ ἔκτεινάν
to-them and not sooner they-desisted before indeed they-killed
τε καὶ τὸ σῶμα κατὰ βραχὺ διεσπάσαντο.
both and the body by little tore-apart

10.47 οὕτω τε ἐν τῇ Πάστωρος οἰκίᾳ γενόμενοι τὸν ἄνδρα
thus both in the of-Pastor house having-come the man
ἐζήτουν. τοῖς τε οἰκέταις τεθνάναι Πάστωρα ἰσχυριζομένοις
they-sought to-the both servants to-have-died Pastor insisting
ἥκιστα πιστεύειν ἠξίουν, ἕως αὐτοῖς τὸν τοῦ ἀνθρώπου
in-no-way to-believe they-thought-fit until to-them the of-the man
νεκρὸν ἔδειξαν. καὶ αὐτὸν Νεαπολῖται ἐν τῷ προαστείῳ
corpse they-showed and him Neapolitans in the suburb
ἀνεσκολόπισαν.
impaled

10.48 οὕτω τε Βελισάριον παρῃτήσαντο ἐφ' οἷς δικαίᾳ ὀργῇ
thus both Belisarius they-begged-pardon for what with-just anger
ἐχόμενοι ἔδρασαν, τυχόντες τε αὐτοῦ συγγνώμονος
held they-did having-obtained both him forgiving
διελύθησαν. οὕτω μὲν Νεαπολῖται ἀπήλλαξαν.
they-dispersed thus indeed Neapolitans came-off

11.1 Γότθοι δὲ, ὅσοις ἀμφί τε Ῥώμην καὶ τὰ ἐκείνῃ χωρία
Goths and as-many-as about both Rome and the there places
ξυνέπεσεν εἶναι, καὶ πρότερον τὴν Θευδάτου ἡσυχίαν ἐν
it-befell to-be also before the of-Theodatus inaction in
θαύματι μεγάλῳ ποιούμενοι, ὅτι δὴ ἐν γειτόνων οὖσι τοῖς
wonder great making(-it) that indeed in neighbors being the
πολεμίοις οὐ βούλοιτο διὰ μάχης ἰέναι, ἐν σφίσι τε αὐτοῖς
enemies not he-wished through battle to-go among them both selves
ὑποψίᾳ πολλῇ ἐς αὐτὸν χρώμενοι, ὡς δὴ τὰ Γότθων
with-suspicion much toward him dealing as indeed the of-Goths

πράγματα προδιδοῖ Ἰουστινιανῷ βασιλεῖ ἐθελουσίως, ἄλλο
affairs he-betrays to-Justinian emperor willingly other
τέ οἱ οὐδὲν ἐπιμελὲς εἴη, πλήν γε δὴ ὅπως αὐτὸς
both to-him nothing (a)-concern be except at-least indeed that he-himself
ἡσυχῇ βιοτεύοι, ὡς πλεῖστα περιβαλλόμενος χρήματα, ἐπειδὴ
quietly might-live as most putting-about-himself money when
ἁλῶναι Νεάπολιν ἤκουσαν, ἅπαντά οἱ ταῦτα ἐκ τοῦ
to-have-been-taken Naples they-heard all(-things) to-him these from the
ἐμφανοῦς ἤδη ἐπικαλοῦντες ἐς χωρίον ξυνελέγησαν Ῥώμης
open already charging to (a)-place gathered from-Rome
ὀγδοήκοντα καὶ διακοσίους σταδίους διέχον, ὅπερ Ῥωμαῖοι
eighty and two-hundred stades distant which Romans
καλοῦσι Ῥεγάτα· ἐνταῦθα ἐνστρατοπεδεύσασθαι σφίσιν ἔδοξεν
call Regata there to-encamp to-them seemed
ἄριστον εἶναι· πεδία γὰρ πολλὰ ἐνταῦθά ἐστιν ἱππόβοτα.
best to-be plains for many there are horse-feeding
ῥεῖ δὲ καὶ ποταμός, ὃν Δεκεννόβιον τῇ Λατίνων 11.2
flows and also (a)-river which Decennovium in-the of-Latins
φωνῇ καλοῦσιν οἱ ἐπιχώριοι, ὅτι δὴ ἐννεακαίδεκα
tongue call the natives because indeed nineteen
περιὼν σημεῖα, ὅπερ ξύνεισιν ἐς τρισκαίδεκα καὶ
going-around milestones which-very comes to thirteen and
ἑκατὸν σταδίους, οὕτω δὴ ἐκβάλλει ἐς θάλασσαν, ἀμφὶ
hundred stades thus indeed it-empties into (the)-sea about
πόλιν Ταρακίνην, ἧς ἄγχιστα ὄρος τὸ Κίρκαιόν
(the)-city Taracina of-which nearest (the)-mountain — Circaeum
ἐστιν, οὗ τὸν Ὀδυσσέα τῇ Κίρκῃ ξυγγενέσθαι φασίν,
is where — Odysseus — with-Circe to-have-consorted they-say
ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, ἐπεὶ ἐν νήσῳ Ὅμηρος
to-me indeed not credible(-things) saying since on (an)-island Homer
τὰ τῆς Κίρκης οἰκία ἰσχυρίζεται εἶναι.
the — of-Circe dwellings insists to-be

11.3 ἐκεῖνο μέντοι ἔχω εἰπεῖν, ὡς τὸ Κίρκαιον τοῦτο, ἐπὶ
that however I-can to-say that — Circaeum this for
πολὺ τῆς θαλάσσης διῆκον, νήσῳ ἐμφερές ἐστι, καὶ
far of-the sea reaching to-(an)-island like is and
τοῖς τε πλέουσιν ἄγχιστα τοῖς τε ἐς τὴν ἐκείνῃ
to-the(-ones) both sailing nearest to-the(-ones) both to the there
ἠϊόνα βαδίζουσι νῆσος δοκεῖ ἐπὶ πλεῖστον εἶναι. καὶ
shore walking (an)-island seems at most to-be and
ἐπειδάν τις ἐν αὐτῷ γένηται, τότε δὴ μεταμανθάνει
when anyone on it be then indeed learns-otherwise
ψευσθῆναι τῆς δόξης τὰ πρότερα.
to-have-been-deceived of-the opinion the former(-times)

11.4 καὶ διὰ τοῦτο Ὅμηρος ἴσως νῆσον τὸ χωρίον
and because-of this Homer perhaps (an)-island the place
ὠνόμασεν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἄνειμι.
named I and to the former account go-back

11.5 Γότθοι, ἐπειδὴ ἐς Ῥεγάτα ξυνελέγησαν, βασιλέα σφίσι
Goths when at Regata they-gathered (a)-king for-themselves
τε καὶ Ἰταλιώταις Οὐίττιγιν εἵλοντο, ἄνδρα οἰκίας μὲν
both and for-Italians Vittigis chose (a)-man of-house indeed
οὐκ ἐπιφανοῦς ὄντα, ἐν μάχαις δὲ ταῖς ἀμφὶ Σίρμιον
not illustrious being in battles and the about Sirmium
λίαν εὐδοκιμηκότα τὸ πρότερον, ἡνίκα τὸν πρὸς Γήπαιδας
very having-won-renown the earlier(-time) when the against Gepids
πόλεμον Θευδέριχος διέφερε.
war Theoderic carried-through

11.6 Θευδάτος μὲν οὖν ταῦτα ἀκούσας ἐς φυγήν τε ὥρμητο
Theodatus indeed then these(-things) having-heard into flight both rushed
καὶ τὴν ἐπὶ Ῥάβενναν ἤλαυνεν. Οὐίττιγις δὲ κατὰ
and the(-road) to Ravenna drove Vittigis and with

τάχος Ὄπταριν ἔπεμψεν, ἄνδρα Γότθον, ἐπιστείλας αὐτῷ
speed Optaris sent (a)-man Goth having-enjoined on-him
ἢ ζῶντα ἢ νεκρὸν ἀγαγεῖν Θευδάτον.
either living or dead to-bring Theodatus
ἐτύγχανε δὲ τῷ Θευδάτῳ οὗτος ὁ Ὄπταρις χαλεπῶς 11.7
happened and — to-Theodatus this — Optaris hostile
ἔχων ἐξ αἰτίας τοιᾶσδε. κόρην τινὰ Ὄπταρις ἐπίκληρόν
being from cause such maiden (a)-certain Optaris (an)-heiress
τε καὶ τὴν ὄψιν εὐπρεπῆ οὖσαν ἐμνηστεύετο.
both and in-the appearance comely being was-wooing
ταύτην Θευδάτος ἀφελόμενος τὸν μνηστῆρα τοῦτον, 11.8
her Theodatus having-taken-away-from the suitor this
χρήμασιν ἀναπεισθείς, ἑτέρῳ ἠγγύησε. διὸ δὴ τῷ τε
and Diogenes with horsemen thousand he-sent whom indeed in
τε τοῖς χαρακώμασι βάλλειν ἐκέλευσε καί, ἐπειδὰν οἱ
both the palisaded-camps to-shoot he-bade and when the

ἐναντίοι ἐπ᾽ αὐτοὺς ἴωσι, φεύγειν τε ἥκιστα αἰδουμένους
opponents against them should-go to-flee both least feeling-shame
καὶ μέχρι ἐς τὸν περίβολον ἀπελαύνειν δρόμῳ.
and as-far-as to the circuit-wall to-ride-back at-a-run
5.10 τινὰς δὲ καὶ ταύτης ἐντὸς τῆς πυλίδος ἔστησεν. οἱ
some and also this within the postern he-stationed the(-men)
μὲν οὖν ἀμφὶ Τραϊανόν, καθάπερ σφίσιν ἐπέστελλε
indeed then about Trajan as them enjoined
Βελισάριος, τοὺς βαρβάρους ἠρέθιζον, καὶ αὐτοὺς οἱ Γότθοι
Belisarius the barbarians provoked and them the Goths
ἐκ πάντων ἀγειρόμενοι τῶν χαρακωμάτων ἠμύνοντο.
from all gathered the palisaded-camps warded-off
5.11 ἀμφότεροί τε ὡς τάχιστα ἐπὶ τὸν τῆς πόλεως περίβολον
both both as quickest to the of-the city circuit-wall
ᾔεσαν, οἱ μὲν ὅτι φεύγουσι δόξαν παρέχοντες,
went the(-ones) indeed that they-flee (an)-impression giving
οἱ δὲ διώκειν τοὺς πολεμίους οἰόμενοι.
the(-ones) and to-pursue the enemies thinking
5.12 Βελισάριος δέ, ἐπειδὴ τάχιστα τοὺς ἐναντίους ἐς τὴν δίωξιν
Belisarius and when quickest the opponents into the pursuit
καθισταμένους εἶδε, πύλην τε τὴν Φλαμινίαν ἀνοίγνυσι καὶ τὸ
entering he-saw (the)-gate both the Flaminian opens and the
στράτευμα ἐπὶ τοὺς βαρβάρους οὐ προσδεχομένους ἀφίησιν.
army against the barbarians not expecting(-it) lets-loose
5.13 ἓν δὲ τῶν Γότθων στρατόπεδον παρὰ τὴν ταύτῃ ὁδὸν
one and of-the Goths camp beside the there road
ἐτύγχανεν ὄν. καί τις αὐτοῦ ἔμπροσθεν ἦν στενοχωρία
happened being and some of-it before was narrow-place
κρημνώδης τε καὶ δεινῶς ἄβατος.
precipitous both and terribly impassable

ἐνταῦθα τῶν τις βαρβάρων τεθωρακισμένος τε καὶ 5.14
there of-the one barbarians armored both and
σώματος ἐς ἄγαν εὖ ἥκων, ἐπειδὴ εἶδε προϊόντας τοὺς
in-body to excess well endowed when he-saw advancing the
πολεμίους, προτερήσας εἱστήκει καὶ τοὺς ἑταίρους ἐκάλει
enemies having-got-ahead stood and the comrades called
τε καὶ τὴν στενοχωρίαν ξυμφυλάσσειν ἠξίου.
both and the narrow-place to-help-guard asked
Μουνδίλας δὲ φθάσας αὐτόν τε ἔκτεινε καὶ τῶν ἄλλων 5.15
Mundilas and having-anticipated him both killed and of-the other
βαρβάρων οὐδένα ἐς τοῦτον διελθεῖν τὸν στενωπὸν
barbarians none into this to-pass-through the narrow-lane
ξυνεχώρησε.
allowed
διελθόντες οὖν, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, 5.16
having-passed-through then none them opposing
ἔς τε τὸ πλησίον χαράκωμα ἵκοντο καὶ αὐτοῦ
to both the nearby palisaded-camp they-came and there
τινες δι᾽ ὀλίγου ἀποπειρασάμενοι οὐκ ἔσχον ἑλεῖν
some in short(-time) having-made-trial-of not could take
ἰσχύϊ τοῦ χαρακώματος, καίπερ οὐ πολλῶν ἐνταῦθα
by-(the)-strength of-the palisaded-camp although not many there
ἐγκαταλελειμμένων βαρβάρων.
left-behind barbarians
ἥ τε γὰρ τάφρος ἐς μέγα τι βάθους ὠρώρυκτο χρῆμα 5.17
the both for trench to great some of-depth had-been-dug extent
καὶ χοῦς ὃς ἐνθένδε ἀφῄρητο, ἐς τὴν ἐντὸς ἀεὶ
and (the)-earth which from-there had-been-taken-out to the inner always
ἐντιθέμενος μοῖραν ἐς ὕψος τε ἦρετο καὶ ἀντὶ τείχους
being-placed portion to height both was-raised and instead-of (a)-wall

ἐγίνετο, τοῖς τε σκόλοψι περιεσταύρωτο ὑπερφυῶς, ὀξέσι
became with-the both stakes had-been-staked-around extraordinarily sharp
τε λίαν καὶ συχνοῖς οὖσιν.
both very and many being

5.18 οἷς δὴ θαρσοῦντες οἱ βάρβαροι καρτερῶς τοὺς
in-which indeed trusting the barbarians stoutly the
πολεμίους ἠμύνοντο. εἷς δὲ τῶν Βελισαρίου ὑπασπιστῶν,
enemies warded-off one and of-the of-Belisarius shield-bearers
Ἀκυλῖνος ὄνομα, δραστήριος ἀνὴρ ἐν τοῖς μάλιστα, λώρου
Aquilinus by-name (an)-active man in the most of-(the)-rein
λαβόμενος ἵππου, ἐνθένδε ξὺν τῷ ἵππῳ ἐς μέσον τὸ
having-taken-hold of-(a)-horse from-there with the horse into (the)-middle the
χαράκωμα ἅλατο, καί τινας τῶν ἐναντίων αὐτοῦ ἔκτεινε.
palisaded-camp leapt and some of-the opponents there killed

5.19 περιστάντων δὲ αὐτὸν συχνά τε ἀκοντιζόντων τῶν
having-stood-around and him repeatedly both hurling-javelins the
ἐναντίων ὁ μὲν ἵππος πληγεὶς ἔπεσεν, αὐτὸς δὲ
opponents the indeed horse having-been-struck fell he-himself and
παρὰ δόξαν διὰ μέσων τῶν πολεμίων διέφυγε.
contrary-to expectation through (the)-middle of-the enemies escaped

5.20 πεζὸς δὲ ξὺν τοῖς ἑταίροις ἐπὶ πύλας Πιγκιανὰς ᾔει. ἔτι
on-foot and with the comrades toward (the)-gates Pincian went still
τε διώκοντας τοὺς βαρβάρους καταλαβόντες καὶ κατὰ
both pursuing the barbarians having-overtaken and at
νώτου βάλλοντες ἔκτειναν.
back shooting killed

5.21 ὅπερ δὴ οἱ ἀμφὶ Τραϊανὸν κατιδόντες,
which-very indeed the(-men) about Trajan having-seen
ἐπιβεβοηθηκότων σφίσι καὶ τῶν ταύτῃ ἐν παρασκευῇ
having-come-to-help them also the there in readiness

καθεστώτων ἱππέων, ἐπὶ τοὺς διώκοντας δρόμῳ
stationed horsemen against the(-ones) pursuing at-a-run
ἐχώρουν.
went

τότε δὴ οἱ Γότθοι καταστρατηγηθέντες τε καὶ τῶν 5.22
then indeed the Goths outgeneraled both and of-the
πολεμίων ἐν μέσῳ ἐκ τοῦ ἀπροσδοκήτου ἀπειλημμένοι,
enemies in middle from the unexpected cut-off
οὐδενὶ κόσμῳ ἐκτείνοντο.
in-no order were-killed

πολύς τε αὐτῶν γέγονε φόνος καὶ ὀλίγοι κομιδῇ ἐς 5.23
great both of-them came slaughter and few quite to
τὰ στρατόπεδα διέφυγον μόλις, οἵ τε λοιποὶ περὶ
the camps escaped with-difficulty the both rest for
πᾶσι τοῖς χαρακώμασι δείσαντες αὐτοῦ φραξάμενοι
all the palisaded-camps having-feared there having-fenced(-themselves)
τὸ λοιπὸν ἔμενον, αὐτίκα δὴ μάλα ἐπιέναι σφίσι τοὺς
the rest stayed at-once indeed very to-attack them the
Ῥωμαίους οἰόμενοι.
Romans thinking

ἐν τούτῳ τῷ ἔργῳ τῶν τις βαρβάρων Τραϊανὸν βάλλει 5.24
in this the action of-the one barbarians Trajan hits
ἐς τὸ πρόσωπον, ὀφθαλμοῦ μὲν τοῦ δεξιοῦ ἄνωθεν, ὀλίγῳ
in the face of-(the)-eye indeed the right above (a)-little
δὲ τῆς ῥινὸς ἄποθεν.
and from-the nose away

καὶ σίδηρος μὲν ἅπας ἐντός τε ἐπάγη καὶ παντάπασιν 5.25
and (the)-iron indeed all within both was-fixed and altogether
ἀφανὴς γέγονε, καίπερ μεγάλην τε τὴν ἀκίδα ἔχων καὶ
invisible became although great both the point having and
μακρὰν κομιδῇ, τοῦ δὲ βέλους τὸ λειπόμενον ἐς τὴν
long quite of-the and missile the remaining to the

γῆν οὐδενὸς βιασαμένου εὐθὺς ἔπεσε. δοκεῖ γάρ μοι
ground no-one having-forced(-it) at-once fell it-seems for to-me
οὐδὲ ἀσφαλῶς ἐς αὐτὸν ὁ σίδηρός πη ἐρηρεῖσθαι.
not-even securely in him the iron somehow to-have-been-fixed

5.26 Τραϊανῷ μέντοι αἴσθησις τούτου οὐδεμία ἐγένετο, ἀλλ'
to-Trajan however perception of-this none came but
οὐδέν τι ἧσσον κτείνων τε καὶ διώκων τοὺς πολεμίους
nothing at-all less killing both and pursuing the enemies
διέμεινε. πέμπτῳ δὲ ὕστερον ἐνιαυτῷ αὐτόματον ἐν τῷ
he-continued in-(the)-fifth and later year of-its-own-accord in the
προσώπῳ προὔχον τὸ τοῦ σιδήρου ἄκρον ἐφάνη.
face projecting the of-the iron tip appeared

5.27 τρίτον τε τοῦτο ἔτος ἐξ οὗ κατὰ βραχὺ πρόεισιν
third both this year from which by little it-comes-forth
ἔξω ἀεί. ἐπίδοξος οὖν ἐστι πολλῷ ὕστερον χρόνῳ ἔξω
outside always expected then it-is by-much later time outside
γενήσεσθαι ἡ ἀκὶς ξύμπασα. ἐμπόδιος δὲ τῷ ἀνθρώπῳ
to-come the point whole (an)-obstacle and to-the man
οὐδαμῇ γέγονε. ταῦτα μὲν δὴ οὕτως ἔσχεν.
in-no-way it-has-become these(-things) indeed indeed thus stood

6.1 Οἱ δὲ βάρβαροι εὐθὺς μὲν ἀπεγίνωσκόν τε τὸν πόλεμον
the and barbarians at-once indeed despaired-of both the war
καὶ ὅπως ἐνθένδε ἀναχωρήσωσιν ἐν βουλῇ εἶχον, πρός τε
and how from-there they-might-withdraw in counsel had by both
τοῦ λοιμοῦ καὶ τῶν πολεμίων διεφθαρμένοι, ἐς ὀλίγους τε
the pestilence and the enemies destroyed to few both
ἤδη ἐκ μυριάδων περιεστηκότες πολλῶν, οὐχ ἥκιστα
already from tens-of-thousands having-come-round many not least
δὲ καὶ τῷ λιμῷ ἐπιέζοντο τῷ μὲν λόγῳ πολιορκοῦντες,
and also by-the famine were-pressed in-the indeed word besieging

ἔργῳ δὲ πολιορκούμενοι πρὸς τῶν ἐναντίων καὶ πάντων
in-deed and being-besieged by the opponents and from-all
ἀποκεκλεισμένοι τῶν ἀναγκαίων.
shut-off the necessities
ἐπεὶ δὲ καὶ στράτευμα ἕτερον ἐλθεῖν τοῖς πολεμίοις 6.2
when and also army another to-have-come for-the enemies
κατὰ γῆν τε καὶ θάλασσαν ἐκ Βυζαντίου ἐπύθοντο,
by land both and sea from Byzantium they-learned
οὐχ ὅσον ἐτύγχανεν ὄν, ἀλλ᾽ ὅσον ἡ τῆς φήμης
not as-great-as it-happened being but as-great-as the of-the report
ἐξουσία ποιεῖν ἴσχυε, κατωρρωδηκότες τὸν κίνδυνον τὴν
license to-make was-able having-dreaded the danger the
ἀναχώρησιν ἐν βουλῇ ἐποιοῦντο.
withdrawal in counsel they-made
ἔπεμψαν οὖν πρέσβεις ἐς Ῥώμην, Ῥωμαῖον ἄνδρα ἐν 6.3
they-sent then envoys to Rome (a)-Roman man among
Γότθοις δόκιμον τρίτον αὐτόν, ὃς παρὰ Βελισάριον
Goths approved third himself who to Belisarius
ἐλθὼν ἔλεξε τοιάδε
having-come said such(-things)
“Ὡς μὲν οὐδετέροις ἡμῶν ἐς τὸ ξυμφέρον τὰ τοῦ 6.4
that indeed for-neither of-us to the advantage the(-things) of-the
πολέμου κεχώρηκεν ἐξεπίσταται ἡμῶν ἕκαστος ἐς αὐτὴν
war have-gone knows-well of-us each into the-very
ἥκων τῶν ἐνθένδε δυσκόλων τὴν πεῖραν.
having-come of-the from-there difficulties the trial
τί γὰρ ἄν τις ἑκατέρων ἀρνηθείη τῶν στρατοπέδων, 6.5
what for — anyone of-each-of-the-two would-deny of-the camps
ὧν γε οὐδετέροις ἐν ἀγνοίᾳ κεῖσθαι συμπέπτωκεν;
of-which at-least for-neither in ignorance to-lie it-has-befallen

6.6 ὡς δὲ ἀξυνέτων ἐστὶν ἀνδρῶν ἀπέραντά τε ταλαιπωρεῖν
that and of-senseless it-is men endlessly both to-suffer-hardship
βούλεσθαι, φιλονεικίας ἕνεκα τῆς αὐτίκα, καὶ λύσιν
to-wish of-contentiousness for-the-sake the momentary and (a)-solution
τῶν ἐνοχλούντων μηδεμίαν εὑρεῖν, οὐδεὶς ἄν, οἶμαι,
of-the troubling(-things) none to-find no-one — I-think
τῶν γε οὐκ ὄντων ἀνοήτων ἀντείποι.
of-the(-men) at-least not being foolish would-gainsay

6.7 ὅταν δὲ ταῦτα οὕτως ἔχῃ, τοὺς ἑκατέρων ἡγουμένους
when and these(-things) thus stand the(-men) of-each-of-the-two leading
προσήκει μὴ δόξης τῆς οἰκείας τὴν τῶν ἀρχομένων
it-befits not for-reputation the own the of-the(-men) ruled
σωτηρίαν προΐεσθαι, ἀλλὰ τά τε δίκαια καὶ τὰ
safety to-throw-away but the both just(-things) and the
ξύμφορα οὐ σφίσιν αὐτοῖς μόνον, ἀλλὰ καὶ τοῖς
advantageous(-things) not for-them selves only but also for-the
σφῶν ἐναντίοις ἑλέσθαι, οὕτω τε τὴν διάλυσιν τῶν
their opponents to-choose thus both the settlement of-the
παρόντων ποιεῖσθαι δυσκόλων.
present to-make difficulties

6.8 τὸ μὲν γὰρ τῶν μετρίων ἐφίεσθαι πᾶσι χαλεποῖς
the(-thing) indeed for the moderate(-things) to-aim-at to-all difficult(-things)
δίδωσι πόρον, τῷ δὲ φιλονείκῳ τὸ μηδὲν περαίνεσθαι
gives (a)-way to-the and contentious the nothing to-be-accomplished
τῶν δεόντων συμπέφυκεν.
of-the needful(-things) is-natural

6.9 ἡμεῖς μὲν οὖν καταστροφῆς πέρι τοῦδε βουλευσάμενοι
we indeed then (an)-end about of-this having-deliberated
τοῦ πολέμου τὰ ξύμφορα ἑκατέροις προτεινόμενοι,
the war the advantageous(-things) for-each-of-the-two proposing

ἐν οἷς τι καὶ τῶν δικαίων ἐλασσοῦσθαι οἰόμεθα,
in which something also of-the just(-things) to-lose we-think
παρ᾽ ὑμᾶς ἥκομεν.
to you we-have-come
ὅπως δὲ καὶ ὑμεῖς μὴ φιλονεικίᾳ τινὶ πρὸς ἡμᾶς χρώμενοι 6.10
see-that and also you not with-contentiousness some toward us using
ξυνδιαφθείρεσθαι μᾶλλον ἢ τὰ ξυνοίσοντα ὑμῖν
to-be-destroyed-together rather than the(-things) going-to-be-advantageous for-you
αὐτοῖς ἑλέσθαι βουλεύσησθε.
yourselves to-choose you-resolve
προσήκει δὲ μὴ ξυνεχεῖ ῥήσει τοὺς λόγους ἀμφοτέρους 6.11
it-befits and not in-continuous speech the discourses both
ποιεῖσθαι, ἀλλ᾽ ὑπολαμβάνοντας ἐκ τοῦ παραυτίκα, ἤν
to-make but taking-up from the moment if
τι μὴ ἐπιτηδείως εἰρῆσθαι δοκῇ.
anything not suitably to-have-been-said seem
οὕτω γὰρ ἑκατέροις εἰρηκέναι τε διὰ βραχέος ὅσα 6.12
thus for for-each-of-the-two to-have-said both through short(-words) as-much-as
σφίσι κατὰ νοῦν ἐστι καὶ τὰ δέοντα πεπραχέναι
to-them according-to mind is and the needful(-things) to-have-done
ξυμβήσεται.” ἀπεκρίνατο Βελισάριος
it-will-befall answered Belisarius
“Οὕτω μέν, ὅπως φατέ, προϊέναι τὸν διάλογον οὐδὲν 6.13
thus indeed as you-say to-proceed the dialogue nothing
κωλύσει, ὅπως δὲ εἰρηναῖά τε καὶ δίκαια πρὸς ὑμῶν
will-prevent see-that and peaceable(-things) both and just(-things) by you
λέγοιτο.”
be-said
αὖθις οὖν Γότθων οἱ πρέσβεις εἶπον “᾽Ηδικήκατε ἡμᾶς, 6.14
again then of-Goths the envoys said you-have-wronged us
ἄνδρες Ῥωμαῖοι, ἐπὶ φίλους τε καὶ ξυμμάχους ὄντας
men Romans against friends both and allies being

ὅπλα οὐ δέον ἀράμενοι. ἐροῦμεν δὲ ἅπερ καὶ ὑμῶν
arms not rightly having-taken-up we-will-say and what-very also of-you
ἕκαστον οἰόμεθα ξυνεπίστασθαι.
each we-think to-know-as-well

6.15 Γότθοι γὰρ οὐ βίᾳ Ῥωμαίους ἀφελόμενοι γῆν τὴν
Goths for not by-force from-Romans having-taken (the)-land the
Ἰταλίας ἐκτήσαντο, ἀλλ᾽ Ὀδόακρός ποτε τὸν αὐτοκράτορα
of-Italy acquired(-it) but Odoacer once the emperor
καθελὼν ἐς τυραννίδα τὴν τῇδε πολιτείαν μεταβαλὼν
having-deposed into tyranny the here polity having-changed
εἶχε.
held(-it)

6.16 Ζήνων δὲ τότε τῆς ἑῴας κρατῶν καὶ τιμωρεῖν μὲν
Zeno and at-that-time of-the east ruling and to-avenge indeed
τῷ ξυμβεβασιλευκότι βουλόμενος καὶ τοῦ τυράννου
for-the fellow-emperor wishing and from-the tyrant
τήνδε τὴν χώραν ἐλευθεροῦν, Ὀδοάκρου δὲ καταλῦσαι
this the land to-free of-Odoacer and to-destroy
τὴν δύναμιν οὐχ οἷός τε ὤν, Θευδέριχον ἀναπείθει τὸν
the power not able — being Theoderic persuades the
ἡμῶν ἄρχοντα, καίπερ αὐτόν τε καὶ Βυζάντιον πολιορκεῖν
our ruler although him both and Byzantium to-besiege
μέλλοντα, καταλῦσαι μὲν τὴν πρὸς αὐτὸν ἔχθραν τιμῆς
being-about to-end indeed the toward him enmity of-honor
ἀναμνησθέντα πρὸς αὐτοῦ ἧς τετύχηκεν ἤδη, πατρικίός
having-remembered from him which he-had-obtained already patrician
τε καὶ Ῥωμαίων γεγονὼς ὕπατος, Ὀδόακρον δὲ ἀδικίας
both and of-Romans having-become consul Odoacer and for-wrong
τῆς ἐς Αὐγούστουλον τίσασθαι, καὶ τῆς χώρας αὐτόν
the toward Augustulus to-punish and of-the land him
τε καὶ Γότθους τὸ λοιπὸν κρατεῖν ὀρθῶς καὶ δικαίως.
both and Goths the rest to-rule rightly and justly

οὕτω τοίνυν παραλαβόντες τὴν τῆς Ἰταλίας ἀρχὴν τούς 6.17
thus therefore having-taken-over the — of-Italy rule the
τε νόμους καὶ τὴν πολιτείαν διεσωσάμεθα τῶν πώποτε
both laws and the polity we-preserved than-the ever
βεβασιλευκότων οὐδενὸς ἧσσον, καὶ Θευδερίχου μὲν ἢ
having-reigned none less and of-Theoderic indeed or
ἄλλου ὁτουοῦν διαδεξαμένου τὸ Γότθων κράτος νόμος τὸ
of-other anyone having-succeeded-to the of-Goths power law at
παράπαν οὐδεὶς οὐκ ἐν γράμμασιν, οὐκ ἄγραφός ἐστι.
all none not in writing not unwritten is
τὰ δὲ τῆς εἰς θεὸν εὐσεβείας τε καὶ πίστεως οὕτω 6.18
the(-things) and of-the toward God piety both and faith thus
Ῥωμαίοις ἐς τὸ ἀκριβὲς ἐφυλάξαμεν, ὥστε Ἰταλιωτῶν
for-Romans to the exact we-guarded that of-Italians
μὲν τὴν δόξαν οὐδεὶς οὐχ ἑκὼν οὐκ ἀκούσιος ἐς τήνδε τὴν
indeed the belief no-one not willing not unwilling to this the
ἡμέραν μετέβαλε, Γότθων δὲ μεταβεβλημένων ἐπιστροφή
day changed Goths and having-changed attention
τις οὐδαμῶς γέγονε.
any in-no-way has-been
καὶ μὴν καὶ τὰ Ῥωμαίων ἱερὰ τιμῆς παρ᾽ ἡμῶν 6.19
and indeed also the of-Romans sanctuaries honor from us
τῆς ἀνωτάτω τετύχηκεν. οὐ γὰρ οὐδεὶς εἴς τι τούτων
the highest have-obtained not for no-one into any of-these
καταφυγὼν πώποτε πρὸς οὐδενὸς ἀνθρώπων βεβίασται,
having-fled-for-refuge ever by no of-men has-been-forced
ἀλλὰ καὶ πάσας τὰς τῆς πολιτείας ἀρχὰς αὐτοὶ μὲν
but also all the of-the state offices they-themselves indeed
διαγεγόνασιν ἔχοντες, Γότθος δὲ αὐτῶν μετέσχεν οὐδείς.
have-continued holding (a)-Goth and of-them partook none

6.20 ἢ παρελθών τις ἡμᾶς ἐλεγχέτω, ἢν μὴ μετὰ τοῦ
or having-come-forward someone us let-him-refute if not with the
ἀληθοῦς ἡμῖν εἰρῆσθαι οἴηται. προσθείη δ' ἄν τις ὡς
truth by-us to-have-been-said he-thinks would-add and — someone that
καὶ τὸ τῶν ὑπάτων ἀξίωμα Γότθοι ξυνεχώρουν Ῥωμαίοις
also the of-the consuls dignity Goths allowed for-Romans
πρὸς τοῦ τῶν ἑῴων βασιλέως ἐς ἕκαστον ἔτος κομίζεσθαι.
from the of-the eastern emperor for each year to-receive
6.21 ὑμεῖς δέ, τούτων τοιούτων ὄντων, Ἰταλίας μὲν οὐ
you and these such being Italy indeed not
προσεποιεῖσθε, κακουμένης ὑπὸ τῶν Ὀδοάκρου βαρβάρων,
laid-claim-to being-ill-treated by the of-Odoacer barbarians
καίπερ οὐ δι' ὀλίγου, ἀλλ' ἐς δέκα ἐνιαυτοὺς τὰ
although not for (a)-short(-time) but for ten years the
δεινὰ εἰργασμένου, νῦν δὲ τοὺς δικαίως αὐτὴν
terrible(-things) having-done(-it) now and the(-men) justly it
κεκτημένους, οὐδὲν ὑμῖν προσῆκον, βιάζεσθε.
having-possessed nothing to-you belonging you-use-force-against
6.22 οὐκοῦν ἐντεῦθεν ἡμῖν ἐκποδὼν ἵστασθε, τά τε ὑμέτερα
therefore from-here for-us out-of-the-way stand the both your
αὐτῶν ἔχοντες καὶ ὅσα ληϊσάμενοι τετυχήκατε." καὶ
own having and as-much-as having-plundered you-happen(-to-have) and
ὁ Βελισάριος "Ἡ μὲν ὑπόσχεσις ὑμῶν βραχέα τε
— Belisarius the indeed promise of-you short(-things) both
εἰρῆσθαι καὶ μέτρια προὔλεγεν, ἡ δὲ ῥῆσις μακρά
to-be-said and moderate(-things) foretold the and speech long
τε καὶ οὐ πόρρω ἀλαζονείας ὑμῖν γέγονε.
both and not far from-boastfulness for-you has-become
6.23 Θευδέριχον γὰρ βασιλεὺς Ζήνων Ὀδοάκρῳ πολεμήσοντα
Theoderic for (the)-emperor Zeno against-Odoacer going-to-make-war
ἔπεμψεν, οὐκ ἐφ' ᾧ Ἰταλίας αὐτὸς τὴν ἀρχὴν ἔχοι·
sent not on which of-Italy he-himself the rule should-have

τί γὰρ ἂν καὶ τύραννον τυράννου διαλλάσσειν βασιλεῖ
what for — also (a)-tyrant from-(a)-tyrant to-change to-(the)-emperor
ἔμελεν; ἀλλ᾽ ἐφ᾽ ᾧ ἐλευθέρα τε καὶ βασιλεῖ κατήκοος
mattered but on which free both and to-(the)-emperor subject
ἔσται.
it-will-be

ὁ δὲ τὰ περὶ τὸν τύραννον εὖ διαθέμενος ἀγνωμοσύνῃ 6.24
he and the(-things) about the tyrant well having-settled with-ingratitude
ἐς τἄλλα οὐκ ἐν μετρίοις ἐχρήσατο. ἀποδιδόναι
in the-other(-things) not in moderate(-things) dealt to-give-back
γὰρ τῷ κυρίῳ τὴν γῆν οὐδαμῆ ἔγνω.
for to-the lord the land in-no-way he-decided

οἶμαι δὲ ἔγωγε τόν τε βιασάμενον καὶ ὃς ἂν τὰ 6.25
I-think and I the(-one) both having-used-force and whoever — the(-things)
τοῦ πέλας ἑκουσίως μὴ ἀποδιδῷ ἴσον γε εἶναι. ἐγὼ
of-the neighbor willingly not gives-back equal at-least to-be I
μὲν οὖν χώραν τὴν βασιλέως ἑτέρῳ τῳ οὔποτε οὐκ
indeed then (the)-land the of-(the)-emperor to-another any never not
ἂν παραδοίην.
— would-hand-over

εἰ δέ του ἄλλου τυχεῖν βούλεσθε, λέγειν ἀφίημι.” 6.26
if and anything other to-obtain you-wish to-speak I-allow

οἱ δὲ βάρβαροι “Ὡς μὲν οὖν ἀληθῆ πάντα ἡμῖν 6.27
the and barbarians that indeed then true all(-things) by-us
εἴρηται οὐδὲ ὑμῶν τινα λέληθεν. ἡμεῖς δὲ ὅπως ἥκιστα
has-been-said not-even of-you anyone has-escaped we and so-that least
φιλονεικεῖν δόξαιμεν, καὶ Σικελίας, τοσαύτης τε τὸ μέγεθος
to-be-contentious we-may-seem also Sicily so-great both the size
καὶ τοιαύτης τὸν πλοῦτον οὔσης, ὑμῖν ἐξιστάμεθα, ἧς
and such the wealth being to-you we-cede of-which
δὴ ἐκτὸς Λιβύην ὑμᾶς ἀσφαλῶς κεκτῆσθαι οὐ δυνατόν.”
indeed without Libya you securely to-possess not (is)-possible

6.28 καὶ ὁ Βελισάριος "Καὶ ἡμεῖς δὲ Γότθους Βρεττανίαν ὅλην
and — Belisarius and we too Goths Britain whole
ξυγχωροῦμεν ἔχειν, μείζω τε παρὰ πολὺ Σικελίας οὖσαν
allow to-have greater both by much than-Sicily being
καὶ Ῥωμαίων κατήκοον τὸ ἀνέκαθεν γεγενημένην.
and to-Romans subject the(-time) from-of-old having-become
6.29 τοὺς γὰρ εὐεργεσίας ἢ χάριτός τινος ἄρξαντας τοῖς
the(-ones) for of-benefaction or of-favor some having-begun with-the
ἴσοις ἀμείβεσθαι ἄξιον."
equal(-things) to-requite (is)-worthy
6.30 βάρβαροι "Οὐκοῦν, ἤν τι καὶ περὶ Καμπανίας ὑμῖν ἢ
barbarians then if anything also about Campania to-you or
Νεαπόλεως αὐτῆς εἴποιμεν, οὐκ ἂν δέξαισθε;"
Naples itself we-should-say not — would-you-accept
6.31 Βελισάριος "Οὐ γάρ ἐσμεν κύριοι τὰ βασιλέως πράγματα
Belisarius not for we-are lords the of-(the)-emperor affairs
διοικήσασθαι, οὐχ ὅπη αὐτῷ βουλομένῳ ἐστίν." βάρβαροι
to-manage not as to-him wishing it-is barbarians
"Οὐδ' ἢν χρήματα ῥητὰ φέρειν βασιλεῖ ἐφ' ἕκαστον
not-even if money stated to-bring to-(the)-emperor for each
ἔτος ἡμᾶς αὐτοὺς τάξωμεν;"
year us selves we-should-assess
6.32 Βελισάριος "Οὐ δῆτα. οὐ γὰρ ἄλλου του ἡμεῖς
Belisarius not indeed not for of-other anything we
αὐτοκράτορες ἢ ὥστε τῷ κεκτημένῳ φυλάξαι τὴν
with-full-powers than so-as for-the(-one) having-possessed(-it) to-guard the
χώραν."
land
6.33 βάρβαροι "Φέρε δή, στέλλεσθαι ἡμᾶς παρὰ βασιλέα
barbarians come indeed to-be-sent us to (the)-emperor
ἀνάγκη καὶ πρὸς ἐκεῖνον τὰς ξυνθήκας περὶ τῶν
(it-is)-necessary and with him the compacts about the

ὅλων ποιήσασθαι. δεῖ δὲ καὶ τακτόν τινα ὁρίζεσθαι
whole(-things) to-make it-is-needful and also fixed some to-define
χρόνον καθ᾽ ὃν προσήκει τὰ στρατόπεδα ἐς ἐκεχειρίαν
time during which it-befits the camps into truce
παρίστασθαι.”
to-come
Βελισάριος “ Ἔστω· γινέσθω ταῦτα. οὐ γάρ ποτε ὑμῖν 6.34
Belisarius let-it-be let-be these(-things) not for ever for-you
εἰρηναῖα βουλευομένοις ἐμποδὼν στήσομαι.”
peaceable(-things) planning in-the-way I-will-stand
τοσαῦτα εἰπόντες διελύθησάν τε ἐκ τῶν λόγων ἑκάτεροι 6.35
so-much having-said separated both from the talks each
καὶ οἱ πρέσβεις τῶν Γότθων ἐς τὸ σφέτερον στρατόπεδον
and the envoys of-the Goths to the their-own camp
ἀπεχώρησαν.
withdrew
ἡμέραις δὲ ταῖς ἐπιγινομέναις συχνὰ παρ᾽ ἀλλήλους 6.36
in-days and the following repeatedly to one-another
φοιτῶντες τά τε ἀμφὶ τῇ ἐκεχειρίᾳ διετίθεντο καὶ
going the(-things) both about the truce they-arranged and
ὅπως δὴ ἐπὶ ταύτῃ τῶν τινας ἐπισήμων ἑκάτεροι
that indeed for this of-the some notable(-men) each
ἀλλήλοις ἐν ὁμήρων λόγῳ παρέχωνται.
to-each-other in of-hostages status should-provide

The convoy reaches Rome, hostages seal a truce, and the Goths quit Portus, Centumcellae, and Albani. John goes to Picenum, and Datius asks troops for Milan. Constantinus stabs at Belisarius and is put to death. The Goths try the aqueduct, the Pincian postern, and a drugged Tiber watch.

7.1 Ἐν ᾧ δὲ ταῦτα ἐπράσσετο τῇδε, ἐν τούτῳ ὅ τε
in which and these(-things) were-done thus in this the both
τῶν Ἰσαύρων στόλος τῷ Ῥωμαίων λιμένι προσέσχε καὶ
of-the Isaurians fleet at-the of-Romans harbor put-in and
οἱ ἀμφὶ τὸν Ἰωάννην ἐς Ὄστίαν ἦλθον, καὶ τῶν μὲν
the(-men) about — John to Ostia came and of-the indeed
πολεμίων οὐδεὶς οὔτε καταίρουσιν οὔτε στρατοπεδευομένοις
enemies no-one either putting-in or encamping
ἐμπόδιος σφίσιν ἐγένετο αὐτοῖς.
(an)-obstacle to-them became selves

7.2 ὅπως δὲ ἐν τῷ ἀσφαλεῖ διανυκτερεύειν οἷοί τε ὦσιν
so-that and in the safety to-spend-the-night able — they-might-be
ἐξ ἐπιδρομῆς τῆς πρὸς τῶν ἐναντίων, οἵ τε Ἴσαυροι
from attack the from the opponents the both Isaurians
τάφρον βαθεῖαν ἄγχιστα τοῦ λιμένος ὀρύξαντες φυλακὰς
(a)-trench deep nearest the harbor having-dug guards
ἐκ περιτροπῆς ἀεὶ ἐποιοῦντο καὶ οἱ ξὺν τῷ Ἰωάννῃ
in rotation always made and the(-men) with — John
ταῖς ἁμάξαις φραξάμενοι τὸ στρατόπεδον ἡσυχίαν εἶχον.
with-the wagons having-fenced the camp quiet had

7.3 ἐπειδή τε νὺξ ἐπεγένετο, Βελισάριος ἐς Ὄστίαν ξὺν
when both night came-on Belisarius to Ostia with
ἱππεῦσιν ἑκατὸν ἦλθε καὶ τά τε ξυμπεπτωκότα ἐν
horsemen hundred came and the(-things) both having-befallen in

τῇ ξυμβολῇ τά τε ξυγκείμενα σφίσι τε καὶ Γότθοις
the engagement the(-things) both agreed by-them both and Goths
εἰπὼν καὶ τὰ ἄλλα παραθαρσύνας, τά τε φορτία
having-told and the other(-things) having-encouraged the both cargoes
πέμπειν ἐκέλευε καὶ ξὺν προθυμίᾳ ἐς Ῥώμην ἰέναι. "ὅπως
to-send he-bade and with eagerness to Rome to-go that
γάρ," ἔφη, "ἄνευ κινδύνου ἡ ὁδὸς ἔσται ἐγὼ προνοήσω."
for he-said without danger the road will-be I will-take-care
αὐτὸς μὲν οὖν ὄρθρου βαθέος ἐς τὴν πόλιν ἀπήλαυνεν, 7.4
he-himself indeed then at-dawn deep into the city rode-off
Ἀντωνίνα δὲ ξὺν τοῖς ἄρχουσιν ἅμα ἡμέρᾳ τῶν
Antonina and with the commanders at-the-same-time with-day of-the
φορτίων τὴν παρακομιδὴν ἐν βουλῇ ἐποιεῖτο.
cargoes the conveyance in counsel made
ἐδόκει δὲ χαλεπὸν καὶ δεινῶς ἄπορον τὸ πρᾶγμα εἶναι. 7.5
it-seemed and difficult and terribly impracticable the thing to-be
οἵ τε γὰρ βόες οὐκέτι ἀντεῖχον, ἀλλ' ἡμιθνῆτες ἅπαντες
the both for oxen no-longer held-out but half-dead all
ἔκειντο, ἦν δὲ οὐδὲ ἀκίνδυνον στενήν τινα ὁδὸν ξὺν ταῖς
lay it-was and not-even without-danger narrow some road with the
ἁμάξαις πορεύεσθαι, καὶ διὰ τοῦ ποταμοῦ τὰς βάρεις
wagons to-travel and through the river the barges
ἀνέλκειν, καθάπερ τὸ παλαιὸν εἴθιστο, ἀδύνατα ἦν.
to-tow as the(-time) of-old was-customary impossible it-was
ἡ μὲν γὰρ ὁδὸς, ἣ τοῦ ποταμοῦ ἐν ἀριστερᾷ ἐστιν, 7.6
the indeed for road which of-the river on left is
ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, πρὸς τῶν
as by-me in the previous accounts was-said by the
πολεμίων ἐχομένη Ῥωμαίοις τηνικαῦτα ἀπόρευτος ἦν,
enemies being-held for-Romans at-that-time impassable was

ἡ δὲ αὐτοῦ ἐπὶ θάτερα, ὅσα γε παρ᾽ ὄχθην,
the and of-it on the-other-side as-much-as at-least along (the)-bank
ἀστίβητος παντάπασι τυγχάνει οὖσα.
untrodden altogether happens being

7.7 διὸ δὴ τοὺς λέμβους νηῶν τῶν μειζόνων ἀπολεξάμενοι,
wherefore indeed the boats of-ships the larger having-chosen
σανίσι τε αὐτοὺς ὑψηλαῖς κύκλῳ τειχίσαντες, ὅπως
with-planks both them high in-a-circle having-walled so-that
οἱ πλέοντες πρὸς τῶν πολεμίων ἥκιστα βάλλωνται,
the(-men) sailing by the enemies least be-shot
τοξότας τε καὶ ναύτας ἐσεβίβασαν κατὰ λόγον ἑκάστου.
bowmen both and sailors they-put-aboard in proportion of-each

7.8 τῶν τε φορτίων ἐν αὐτοῖς ὅσα φέρειν οἷοί τε
of-the both cargoes in them as-much-as to-carry able —
ἦσαν ἐνθέμενοι, διὰ τοῦ Τιβέριδος ἐς Ῥώμην πνεῦμα
they-were having-put through the Tiber to Rome (a)-wind
τηρήσαντες σφίσιν ἐπίφορον ἐναυτίλλοντο, καὶ τοῦ
having-watched-for for-them favorable they-sailed and of-the
στρατοῦ μέρος ἐν δεξιᾷ τοῦ ποταμοῦ παρεβεβοηθήκει.
army (a)-part on right of-the river had-come-to-help

7.9 ἐλείποντο δὲ τῶν Ἰσαύρων συχνοὺς τὰς ναῦς φυλάσσοντας.
they-left and of-the Isaurians many the ships guarding
ἔνθα μὲν οὖν ἐκ τοῦ εὐθέος ὁ ποταμὸς ᾔει, πόνῳ
where indeed then from the straight the river went with-toil
οὐδενὶ ἔπλεον, ἀράμενοι τὰ τῶν λέμβων ἱστία· ᾗ δὲ ὁ
no they-sailed having-raised the of-the boats sails where and the
ῥοῦς ἑλισσόμενος ὁδὸν πλαγίαν ἐφέρετο, ἐνταῦθα ἐπεὶ τὰ
stream winding (a)-way slanting was-carried there since the
ἱστία τῷ πνεύματι οὐδαμῇ ἐνηργεῖτο, ἐρέσσοντές τε καὶ
sails by-the wind in-no-way worked rowing both and
τὸν ῥοῦν βιαζόμενοι πόνον οἱ ναῦται οὐ μέτριον εἶχον.
the stream forcing toil the sailors not moderate had

οἱ δὲ βάρβαροι ἐν τοῖς στρατοπέδοις καθήμενοι ἐμπόδιοι 7.10
the and barbarians in the camps sitting obstacles
γίνεσθαι τοῖς πολεμίοις ἥκιστα ἤθελον, ἢ κατωρρωδηκότες
to-become to-the enemies least wished either having-dreaded
τὸν κίνδυνον, ἢ οὐκ ἄν ποτε ταύτῃ Ῥωμαίους ἐσκομίζεσθαί
the danger or not — ever this-way Romans to-bring-in
τι τῶν ἀναγκαίων οἰόμενοι, αἰτίᾳ τε οὐ λόγου
anything of-the necessities thinking for-(a)-reason both not of-account
ἀξίᾳ διακωλύειν τὴν τῆς ἐκεχειρίας ἐλπίδα, ἣν ὑποσχέσει
worthy to-hinder the of-the truce hope which by-promise
Βελισάριος ἐκρατύνατο, ἀξύμφορον σφίσιν εἶναι ἡγούμενοι.
Belisarius had-confirmed unprofitable for-them to-be considering
Γότθοι μέντοι, ὅσοι ἐν Πόρτῳ ἦσαν, ἐν χρῷ ἀεὶ 7.11
Goths however as-many-as in Portus were in close always
παραπλέοντας τοὺς πολεμίους θεώμενοι, οὐδαμῇ ἥπτοντο,
sailing-past the enemies watching in-no-way touched(-them)
ἀλλὰ τεθηπότες ἐκάθηντο τὴν αὐτῶν ἔννοιαν.
but astonished sat at-the their thought
ἐπεὶ δὲ τρόπῳ τῷ αὐτῷ πολλάκις ἀναπλεύσαντες ἅπαντα 7.12
when and in-way the same often having-sailed-up all
κατ' ἐξουσίαν ἐσεκομίσαντο τὰ φορτία, οἱ μὲν ναῦται
at liberty they-brought-in the cargoes the indeed sailors
ξὺν ταῖς ναυσὶν ἀνεχώρησαν κατὰ τάχος (ἤδη γὰρ καὶ
with the ships withdrew with speed already for also
τοῦ ἔτους ἀμφὶ τροπὰς χειμερινὰς ἦν), τὸ δὲ λοιπὸν
of-the year about solstice winter it-was the and rest
στράτευμα ἐς Ῥώμην ἐσῆλθε, πλήν γε δὴ ὅτι Παῦλος
army into Rome entered except at-least indeed that Paul
ἐν Ὀστίᾳ ξὺν τῶν Ἰσαύρων τισὶν ἔμεινε.
in Ostia with of-the Isaurians some stayed

7.13 Μετὰ δὲ ἀλλήλοις ἐπὶ τῇ ἐκεχειρίᾳ ὁμήρους ἔδοσαν,
afterward and to-each-other for the truce hostages they-gave
Ζήνωνα μὲν Ῥωμαῖοι, Γότθοι δὲ Οὐλίαν, οὐκ ἀφανῆ
Zeno indeed Romans Goths and Ulias not obscure
ἄνδρα, ἐφ' ᾧ δὴ ἐν τρισὶ μησὶ μηδεμιᾷ ἐς
(a)-man on which indeed in three months no against
ἀλλήλους ἐφόδῳ χρήσονται, ἕως οἱ πρέσβεις ἐκ Βυζαντίου
one-another attack they-will-use until the envoys from Byzantium
ἐπανήκοντες γνώμην τὴν βασιλέως ἀγγείλωσιν.
returning (the)-judgment the of-(the)-emperor should-report

7.14 ἢν δέ τινες καὶ ἀδικίας οἱ ἕτεροι ἐς τοὺς ἐναντίους
if and any also wrongs the one-side against the opponents
ὑπάρξωσι, τοὺς πρέσβεις οὐδέν τι ἧσσον ἀποδοθήσεσθαι
should-begin the envoys nothing at-all less to-be-given-back
ἐς τὸ σφῶν ἔθνος.
to the their-own nation

7.15 τῶν μὲν οὖν βαρβάρων οἱ πρέσβεις Ῥωμαίων
of-the indeed then barbarians the envoys Romans
παραπεμπόντων ἐς Βυζάντιον ἤεσαν, Ἰλδίγερ δέ, ὁ τῆς
escorting(-them) to Byzantium went Ildiger and the —
Ἀντωνίνης γαμβρός, ξὺν ἱππεῦσιν οὐκ ὀλίγοις ἐκ Λιβύης
of-Antonina son-in-law with horsemen not few from Libya
ἐς Ῥώμην ἦλθε.
to Rome came

7.16 Γότθοι τε, οἳ τὸ ἐν Πόρτῳ φρούριον εἶχον, ἐπιλελοιπότων
Goths both who the in Portus fortress held having-failed
σφᾶς τῶν ἀναγκαίων ἐξέλιπόν τε αὐτὸ Οὐιττίγιδος γνώμῃ,
them the necessities left both it of-Vittigis by-judgment
καὶ ἐς τὸ στρατόπεδον μετάπεμπτοι ἦλθον. Παῦλος δὲ
and to the camp summoned came Paul and
αὐτὸ ξὺν τοῖς Ἰσαύροις ἐξ Ὄστίας καταλαβὼν ἔσχεν.
it with the Isaurians from Ostia having-seized held

αἴτιοι δὲ μάλιστα τούτοις δὴ τοῖς βαρβάροις τῶν 7.17
responsible and most for-these indeed the barbarians of-the
ἐπιτηδείων τῆς ἀπορίας ἐγένοντο θαλασσοκρατοῦντες
provisions the want were ruling-the-sea
Ῥωμαῖοι, καί τι αὐτοῖς ἐσκομίζεσθαι τῶν ἀναγκαίων
Romans and anything for-them to-be-brought-in of-the necessities
οὐ ξυγχωροῦντες.
not allowing
διὸ δὴ καὶ πόλιν ἐπιθαλασσίαν, λόγου πολλοῦ ἀξίαν, 7.18
wherefore indeed also (a)-city on-the-sea of-account much worthy
Κεντουκέλλας ὄνομα, τῶν ἐπιτηδείων σπανίζοντες, ὑπὸ
Centumcellae by-name of-the provisions lacking about
τὸν αὐτὸν χρόνον ἐξέλιπον.
the same time they-abandoned
ἔστι δὲ ἡ πόλις μεγάλη καὶ πολυάνθρωπος, ἐς τὰ 7.19
is and the city great and populous to the(-parts)
Ῥώμης πρὸς ἑσπέραν ἐν Τούσκοις κειμένη, σταδίοις αὐτῆς
of-Rome toward west in Tuscany lying by-stades from-it
ὀγδοήκοντα καὶ διακοσίοις ἀπέχουσα.
eighty and two-hundred distant
καὶ αὐτὴν Ῥωμαῖοι καταλαβόντες ἔτι μᾶλλον ἐπὶ μέγα 7.20
and it Romans having-seized still more to great
δυνάμεως ἦλθον, ἐπεὶ καὶ τὸ Ἀλβανῶν πόλισμα ἔσχον,
power came since also the of-(the)-Albani town they-held
Ῥώμης πρὸς ἀνίσχοντα ἥλιον κείμενον, ἀνακεχωρηκότων
from-Rome toward rising sun lying having-withdrawn
ἐνθένδε διὰ τὸν αὐτὸν λόγον τηνικαῦτα τῶν πολεμίων,
from-there for the same reason at-that-time the enemies
πανταχόθεν δὲ ἤδη κυκλωσάμενοι τοὺς βαρβάρους ἐν
from-all-sides and already having-encircled the barbarians in
μέσῳ εἶχον.
middle they-held

7.21 διὸ δὴ Γότθοι διαλύειν τε τὰ ξυγκείμενα καί
wherefore indeed Goths to-break both the(-things) agreed and
τι ἐς Ῥωμαίους κακουργεῖν ὤργων. πέμψαντες
something against Romans to-do-harm were-eager having-sent
οὖν παρὰ Βελισάριον πρέσβεις ἠδικῆσθαι σφᾶς ἐν
then to Belisarius envoys to-have-been-wronged themselves in
σπονδαῖς ἔφασαν.
(the)-truce they-said

7.22 Οὐιττίγιδος γὰρ Γότθους τοὺς ἐν Πόρτῳ μεταπεμψαμένου
Vittigis for Goths the(-ones) in Portus having-sent-for
κατά τινα χρείαν Παῦλόν τε καὶ Ἰσαύρους τὸ ταύτῃ
for some need Paul both and Isaurians the there
φρούριον λόγῳ οὐδενὶ καταλαβόντας ἔχειν.
fortress for-reason no having-seized to-hold

7.23 ταὐτὸ δὲ τοῦτο ἀμφί τε Ἀλβανῷ καὶ Κεντουκέλλαις
the-same and this about both Albanum and Centumcellae
δῆθεν τῷ λόγῳ ἠτιῶντο, ἠπείλουν τε, ἢν μὴ ταῦτα
forsooth in-the word they-charged threatened both if not these(-things)
σφίσιν ἀποδιδῷ, οὐκ ἐπιτρέψειν.
to-them he-should-give-back not to-allow(-it)

7.24 Βελισάριος δὲ ξὺν γέλωτι αὐτοὺς ἀπεπέμψατο, παραπέτασμα
Belisarius and with laughter them sent-away (a)-pretext
μὲν εἶναι ταύτην δὴ τὴν αἰτίαν εἰπών, ἀγνοεῖν δὲ
indeed to-be this indeed the charge having-said to-be-ignorant and
οὐδένα ὅτου δὴ ἕνεκα τὰ χωρία ταῦτα Γότθοι ἐκλίποιεν.
no-one for-what indeed reason the places these Goths had-abandoned

7.25 καὶ τὸ λοιπὸν ὑποψίᾳ τινὶ ἐς ἀλλήλους ἐχρῶντο. ἔπειτα
and the rest with-suspicion some toward one-another they-dealt then
δὲ Βελισάριος, ἐπεὶ Ῥώμην εἶδε στρατιωτῶν πλήθει
and Belisarius when Rome he-saw of-soldiers with-multitude
ἀκμάζουσαν, ἄλλους τε ἱππέας ἐς χωρία Ῥώμης μακράν
flourishing other both horsemen to places of-Rome far

που ἄποθεν περιέπεμπε καὶ Βιταλιανοῦ τὸν ἀδελφιδοῦν
somewhere away sent-around and of-Vitalian the nephew
Ἰωάννην ἐκέλευε ξὺν τοῖς ἑπομένοις ἱππεῦσιν, ὀκτακοσίοις
John he-bade with the following horsemen eight-hundred
οὖσιν, ἀμφὶ πόλιν Ἄλβαν διαχειμάζειν, ἐν Πικηνοῖς κειμένην·
being about (the)-city Alba to-winter in Picenes lying
καί οἱ τῶν τε Βαλεριανῷ ἑπομένων τετρακοσίους 7.26
and with-him of-the both to-Valerian following four-hundred
ξυνέπεμψεν, ὧν Δαμιανὸς ὁ Βαλεριανοῦ ἀδελφιδοῦς
he-sent whom Damianus the of-Valerian nephew
ἦρχε, καὶ τῶν αὐτοῦ ὑπασπιστῶν ὀκτακοσίους ἄνδρας,
commanded and of-the his shield-bearers eight-hundred men
διαφερόντως ἀγαθοὺς τὰ πολέμια.
exceedingly good in-the warlike(-things)
οἷς δὴ δορυφόρους δύο, Σοῦνταν τε καὶ Ἄδηγιν, 7.27
over-whom indeed guards two Suntas both and Adegis
ἐπέστησε, καὶ αὐτοὺς μὲν Ἰωάννῃ ἕπεσθαι, ὅπη ἂν
he-set and them indeed John to-follow wherever —
αὐτὸς ἐξηγοῖτο, ἐκέλευε, τῷ δὲ Ἰωάννῃ ἐπήγγελλε, τέως
he-himself should-lead he-bade — and to-John he-enjoined while
μὲν τὰ ξυγκείμενα σφίσι φυλάττοντας ὁρᾷ τοὺς
indeed the(-things) agreed by-them keeping he-sees the
πολεμίους, ἡσυχῇ μένειν· ὅταν δέ οἱ τὴν ἐκεχειρίαν
enemies quietly to-remain when and to-him the truce
αὐτοῖς λελύσθαι ξυμβαίῃ, ποιεῖν κατὰ τάδε·
by-them to-have-been-broken it-should-befall to-do according-to these(-things)
παντὶ μὲν τῷ στρατῷ ἄφνω τε καὶ ἐξ ἐπιδρομῆς 7.28
with-all indeed the army suddenly both and from sally
καταθεῖν τὴν Πικηνῶν χώραν, ἅπαντά τε ἑξῆς περιόντα
to-overrun the of-Picenes land all both in-order going-around
τὰ ἐκείνῃ χωρία καὶ αὐτοῖς πρὸ τῆς φήμης ἐπιδημοῦντα.
the there places and on-them before the report arriving

7.29 ταύτης γὰρ σχεδόν τι ἁπάσης τῆς χώρας ἄνδρας μὲν
of-this for nearly somewhat all the land men indeed
οὐδαμῇ ἀπολελεῖφθαι, πάντων ἐπὶ Ῥώμην ὡς φαίνεται
in-no-way to-have-been-left all against Rome as it-appears
στρατευσαμένων, παῖδας δὲ καὶ γυναῖκας τῶν πολεμίων
having-campaigned children and and wives of-the enemies
καὶ χρήματα πανταχῇ εἶναι.
and possessions everywhere to-be

7.30 ἐξανδραποδίζειν οὖν καὶ ληΐζεσθαι τὰ ἐν ποσὶν
to-enslave then and to-plunder the(-things) at feet
ἅπαντα φυλασσόμενον μή ποτε Ῥωμαίων τινὶ τῶν ταύτῃ
all taking-care lest ever of-Romans any of-the there
ᾠκημένων λυμήνηται.
dwelling he-should-harm

7.31 ἢν δέ πη χωρίῳ ἐντύχῃ, ἄνδρας τε καὶ ὀχύρωμα,
if and somewhere (a)-place he-should-meet men both and (a)-stronghold
ὡς τὸ εἰκός, ἔχοντι, πάσῃ αὐτοῦ δυνάμει ἀποπειράσασθαι.
as the likely having with-all his power to-make-trial(-of-it)

7.32 καὶ ἢν μὲν ἑλεῖν δύνηται, ἐς τὰ πρόσω ἰέναι, τοῦ
and if indeed to-take he-can to the(-parts) forward to-go the
πράγματος δέ οἱ, ἂν οὕτω τύχοι, ἀντιστατοῦντος,
thing and for-him — thus it-might-happen opposing
ἀπελαύνειν ὀπίσω, ἢ αὐτοῦ μένειν.
to-ride back or there to-remain

7.33 προϊόντι γάρ οἱ καὶ τοῦτο δὴ τὸ ὀχύρωμα κατὰ νώτου
advancing for for-him also this indeed the stronghold at back
ἀπολιπόντι κίνδυνος πολὺς ἐπὶ πλεῖστον ἔσται, ἐπεὶ οὔποτ᾽
having-left danger great for most(-part) will-be since never
ἀμύνειν σφίσιν εὐπετῶς ἕξουσιν, ἤν που ἐνοχλοῖντο
to-help them easily they-will-be-able if somewhere they-should-be-harassed

πρὸς τῶν ἐναντίων· τὴν δὲ λείαν φυλάσσειν ἅπασαν,
by the opponents the and booty to-guard all
ὅπως ἂν αὐτὴν ὀρθῶς καὶ δικαίως ἡ στρατιὰ διανέμοιτο.
so-that — it rightly and justly the army might-divide
εἶτα ξὺν γέλωτι καὶ τοῦτο ἐπεῖπεν "Οὐ γὰρ δίκαιον ὑφ' 7.34
then with laughter also this he-added not for just by
ἑτέρων μὲν τοὺς κηφῆνας πόνῳ μεγάλῳ ἀπόλλυσθαι, ἄλλους
others indeed the drones with-toil great to-be-destroyed others
δὲ τοῦ μέλιτος οὐδεμιᾷ ταλαιπωρίᾳ ὀνίνασθαι." τοσαῦτα μὲν
and of-the honey with-no hardship to-profit so-much indeed
ἐπιστείλας Βελισάριος Ἰωάννην ξὺν τῷ στρατεύματι ἔπεμψεν.
having-enjoined Belisarius John with the army sent
Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον ὅ τε Μεδιολάνων ἱερεὺς Δάτιος 7.35
about and the same time the both of-Mediolanum priest Datius
καὶ τῶν πολιτῶν ἄνδρες δόκιμοι ἐς Ῥώμην ἀφικόμενοι
and of-the citizens men approved to Rome having-come
Βελισαρίου ἐδέοντο φρουροὺς ὀλίγους σφίσι ξυμπέμψαι.
Belisarius asked garrison-troops few to-them to-send-with
αὐτοὶ γὰρ ἱκανοὶ ἰσχυρίζοντο εἶναι, οὐ Μεδιόλανον 7.36
they-themselves for sufficient insisted to-be not Mediolanum
μόνην, ἀλλὰ καὶ Λιγουρίαν ὅλην πόνῳ οὐδενὶ Γότθων τε
alone but also Liguria whole with-toil no from-Goths both
ἀποστῆσαι καὶ βασιλεῖ ἀνασώσασθαι.
to-detach and for-(the)-emperor to-recover
αὕτη δὲ ἡ πόλις ᾤκισται μὲν ἐν Λιγούροις, μέση 7.37
this and the city has-been-settled indeed among Ligurians middle
που μάλιστα Ῥαβέννης τε πόλεως καὶ Ἄλπεων τῶν
somewhere most of-Ravenna both city and of-(the)-Alps the
ἐν Γάλλων ὁρίοις κειμένη.
on of-Gauls borders lying

7.38 ἑκατέρωθεν γὰρ ἐς αὐτὴν ὀκτὼ ἡμερῶν ὁδὸς ἀνδρὶ
from-each-side for to it of-eight days (a)-journey for-(a)-man
εὐζώνῳ ἐστί, πρώτη δὲ πόλεων τῶν ἑσπερίων μετά
well-girt is first and of-cities the western after
γε Ῥώμην μεγέθει τε καὶ πολυανθρωπίᾳ καὶ τῇ
at-least Rome in-size both and populousness and the
ἄλλῃ εὐδαιμονίᾳ ἐτύγχανεν οὖσα. καὶ αὐτοῖς Βελισάριος
other prosperity it-happened being and to-them Belisarius
ὑποσχόμενος τὴν δέησιν ἐπιτελῆ ποιήσειν κατεῖχεν αὐτοῦ
having-promised the request accomplished to-make kept(-them) there
τὴν τοῦ χειμῶνος ὥραν.
the of-the winter season

8.1 Ταῦτα μὲν δὴ ὧδέ πη εἶχε. τῆς δὲ τύχης ὁ φθόνος
these(-things) indeed indeed thus somehow stood of-the and fortune the envy
ὤδινεν ἤδη ἐπὶ Ῥωμαίους, ἐπεὶ τὰ πράγματα εὖ τε
was-in-labor already against Romans since the affairs well both
καὶ καλῶς σφίσιν ἐπίπροσθεν προϊόντα ἑώρα, κακῷ τε
and finely for-them forward advancing it-saw with-evil both
κεραννύναι τινὶ ταῦτα ἐθέλουσα, ἔριν ἐξ οὐδεμιᾶς αἰτίας
to-mix some these wishing strife from no cause
λόγου ἀξίας ἐπενόει Βελισαρίῳ τε καὶ Κωνσταντίνῳ, ἣ
of-account worthy it-devised to-Belisarius both and to-Constantinus which
ὅπως τε ἔφυ καὶ ἐς ὅ τι ἐτελεύτησεν, ἐρῶν ἔρχομαι.
how both it-arose and to what — it-ended to-tell I-come

8.2 Πρεσίδιος ἦν τις, ἀνὴρ Ῥωμαῖος, ᾠκημένος μὲν ἐπὶ
Presidius was (a)-certain man Roman settled indeed at
Ῥαβέννης, ὢν δὲ οὐκ ἀφανής. οὗτος ὁ Πρεσίδιος, ὅτι
Ravenna being and not obscure this — Presidius because
δὴ Γότθοις προσκεκρουκώς, ἡνίκα Οὐίττιγις ἐπὶ Ῥώμην
indeed with-Goths having-fallen-out when Vittigis against Rome
στρατεύειν ἔμελλε, ξὺν ὀλίγοις τισὶ τῶν οἰκετῶν ἐπὶ
to-campaign was-about with few some of-the servants on

κυνηγέσιον δῆθεν τῷ λόγῳ στελλόμενος φεύγει, οὔτε
(a)-hunt forsooth in-the word setting-out flees neither
τῳ τὴν βουλὴν κοινωσάμενος οὔτε τι τῶν χρημάτων
to-anyone the plan having-communicated nor any of-the possessions
ξὺν αὑτῷ ἔχων, πλήν γε δὴ ὅτι ξιφίδια δύο αὐτὸς
with himself having except at-least indeed that daggers two he-himself
ἔφερεν, ὧν τὼ κουλεὼ χρυσῷ τε πολλῷ καὶ λίθοις
carried whose the-two sheaths with-gold both much and with-stones
ἐντίμοις κεκαλλωπισμένω ἐτυχέτην. καὶ ἐπειδὴ ἐν Σπολιτίῳ
precious adorned happened and when in Spolitium
ἐγένετο, ἐς νεών τινα ἔξω τοῦ περιβόλου κατέλυσεν.
he-was in church some outside the circuit-wall lodged
ὃ δὴ Κωνσταντῖνος ἀκούσας (ἐτύγχανε γὰρ ἔτι ἐνταῦθα 8.3
which indeed Constantinus having-heard he-happened for still there
διατριβὴν ἔχων) τῶν τινα ὑπασπιστῶν Μαξεντίολον
stay having of-the one shield-bearers Maxentiolus
πέμψας ἄμφω ἀφαιρεῖται λόγῳ οὐδενὶ τὼ ἀκινάκα.
having-sent both takes-away for-reason no the-two daggers
περιαλγὴς δὲ γεγονὼς τοῖς ξυμπεσοῦσιν ὁ ἄνθρωπος 8.4
grieved and having-become at-the(-things) having-befallen the man
ἐς Ῥώμην ὅτι τάχιστα παρὰ Βελισάριον στέλλεται, οὗ
to Rome as quickest to Belisarius sets-out where
δὴ οὐκ εἰς μακρὰν καὶ Κωνσταντῖνος ἀφίκετο. ἤδη
indeed not at long also Constantinus arrived already
γὰρ ὁ τῶν Γότθων στρατὸς οὐκ ἄποθεν εἶναι ἠγγέλλετο.
for the of-the Goths army not far to-be was-reported
ἕως μὲν οὖν ἔν τε θορύβῳ καὶ κινδύνῳ Ῥωμαίοις 8.5
while indeed then in both tumult and danger for-Romans
καθειστήκει τὰ πράγματα, σιωπῇ ὁ Πρεσίδιος ἔμενεν·
stood the affairs in-silence — Presidius stayed
ὡς δὲ τά τε Ῥωμαίων καθυπέρτερα εἶδε καὶ
when and the(-things) both of-Romans superior he-saw and

Γότθων πρέσβεις παρὰ βασιλέα σταλέντας, καθάπερ μοι
of-Goths envoys to (the)-emperor sent as by-me
ἔμπροσθεν εἴρηται, Βελισαρίῳ συχνὰ προσιὼν τήν τε
before has-been-said to-Belisarius repeatedly coming the both
ἀδικίαν ἀπήγγελλε καί οἱ τὰ δίκαια βοηθεῖν ἠξίου.
wrong reported and him with-the just(-things) to-help asked

8.6 ὁ δὲ Κωνσταντίνῳ πολλὰ μὲν αὐτός, πολλὰ δὲ δι᾽
he and to-Constantinus much indeed himself much and through
ἑτέρων μεμφόμενος, παρῄνει ἔργου τε ἀδίκου καὶ
others reproaching advised from-deed both unjust and
δόξης αἰσχρᾶς ἀπαλλάσσεσθαι.
from-reputation shameful to-be-freed

8.7 ἀλλὰ Κωνσταντῖνος (χρῆν γάρ οἱ γενέσθαι κακῶς)
but Constantinus it-was-fated for for-him to-fare badly
τούς τε λόγους ἀεὶ ἐρεσχελῶν διεκρούετο καὶ τὸν
the both words always mocking put-off and the(-man)
ἠδικημένον ἐτώθαζε.
wronged jeered

8.8 Βελισαρίῳ δέ ποτε, ἵππῳ ἐν τῇ ἀγορᾷ ὀχουμένῳ, ἐντυχὼν
Belisarius and once on-horse in the forum riding having-met
ὁ Πρεσίδιος τοῦ τε χαλινοῦ τοῦ ἵππου ἐλάβετο καὶ μέγα
— Presidius of-the both bridle of-the horse took-hold and loudly
ἀναβοῶν ἠρώτα εἰ ταῦτα λέγουσιν οἱ βασιλέως
shouting asked whether these(-things) say the of-(the)-emperor
νόμοι, ἵνα ἐπειδάν τις τοὺς βαρβάρους φυγὼν ἱκέτης
laws that when anyone the barbarians having-fled (a)-suppliant
ἐς αὐτοὺς ἵκοιτο, οἵδε ἀφέλωνται βίᾳ ὅσα ἂν τύχῃ
to them should-come these take-away by-force whatever — he-happens
ἐν χερσὶν ἔχων.
in hands having

πολλῶν δὲ περιεστηκότων ἀνθρώπων καὶ τοῦ χαλινοῦ 8.9
many and standing-around men and the bridle
ξὺν ἀπειλῇ κελευόντων μεθίεσθαι, οὐ πρότερον ἀφῆκε,
with threat bidding(-him) to-let-go not sooner he-let-go
πρὶν δὴ αὐτῷ ὑπέσχετο Βελισάριος τὰ ξιφίδια δώσειν.
before indeed to-him promised Belisarius the daggers to-give
τῇ οὖν ὑστεραίᾳ Κωνσταντῖνόν τε καὶ τῶν ἀρχόντων 8.10
on-the then next-day Constantinus both and of-the commanders
πολλοὺς ἐς οἰκίσκον τινὰ ξυγκαλέσας Βελισάριος ἐν
many into chamber some having-called-together Belisarius in
Παλατίῳ, τῶν μὲν τῇ προτεραίᾳ ξυμπεπτωκότων
(the)-Palatium of-the indeed on-the day-before having-befallen(-things)
ὑπέμνησε, παρῄνει δὲ ὀψὲ γοῦν τοῦ χρόνου τοὺς
reminded(-him) advised and late at-any-rate in-the time the
ἀκινάκας ἀποδιδόναι.
daggers to-give-back
ὁ δὲ οὐκ ἔφη δώσειν· ἥδιον γὰρ ἂν αὐτοὺς ἐς τοῦ 8.11
he and not said to-give more-gladly for — them into of-the
Τιβέριδος τὸ ὕδωρ ἐμβάλλοι ἢ τῷ Πρεσιδίῳ διδοίη.
Tiber the water he-would-throw than — to-Presidius would-give
θυμῷ τε ἤδη ἐχόμενος Βελισάριος ἐπυνθάνετο εἰ οὐκ 8.12
with-rage both already held Belisarius inquired whether not
οἴοιτο Κωνσταντῖνος πρὸς αὐτοῦ ἄρχεσθαι. καὶ αὐτὸς
he-thought Constantinus by him to-be-ruled and he
τὰ μὲν ἄλλα οἱ ὡμολόγει ἅπαντα πείσεσθαι·
the(-things) indeed other to-him agreed all to-obey
βουλομένῳ γὰρ ταῦτα βασιλεῖ εἶναι· τόδε μέντοι,
wishing for these(-things) for-(the)-emperor to-be this however
ὃ ἐν τῷ παρόντι ἐπιτάττοι, οὐ μήποτε δράσειν.
which in the present he-should-order not ever to-do

8.13 Βελισάριος μὲν οὖν εἰσιέναι τοὺς δορυφόρους ἐκέλευε,
Belisarius indeed then to-enter the guards bade
Κωνσταντῖνος δὲ "Ὅπως με δηλαδὴ ἀποκτενοῦσιν" ἔφη.
Constantinus and that me obviously they-will-kill said
"Οὐδαμῶς γε" ὁ Βελισάριος εἶπεν "ἀλλ' ἵνα τὸν σὸν
in-no-way at-least — Belisarius said but that the your
ὑπασπιστὴν Μαξεντίολον, ὅς σοι τὰ ξιφίδια βιασάμενος
shield-bearer Maxentiolus who to-you the daggers having-forced
ἤνεγκεν, ἀναγκάσωσι τῷ ἀνθρώπῳ ἀποδιδόναι ἅπερ
brought they-may-compel to-the man to-give-back what-very
αὐτοῦ βίᾳ λαβὼν ἔτυχεν."
of-him by-force having-taken he-happened

8.14 ἀλλὰ Κωνσταντῖνος τεθνήξεσθαι παραυτίκα οἰόμενος δρᾶσαί
but Constantinus to-be-about-to-die at-once thinking to-do
τι μέγα, πρίν τι αὐτὸς πάθοι, ἐβούλετο.
something great before anything he-himself should-suffer wished

8.15 διὸ δὴ τὸ ξιφίδιον εἵλκεν, ὅπερ οἱ πρὸς τῷ μηρῷ
wherefore indeed the dagger he-drew which-very to-him at the thigh
ἀπεκρέματο, ἄφνω τε αὐτὸ ἐπὶ τὴν Βελισαρίου γαστέρα
hung suddenly both it into the of-Belisarius belly
ὦσεν. ὁ δὲ καταπλαγεὶς ὀπίσω τε ἀπέστη καὶ Βέσσᾳ
thrust he and terrified back both stood-away and Bessas
ἐγγύς που ἑστηκότι περιπλακεὶς διαφυγεῖν ἴσχυσε.
near somewhere standing having-clasped to-escape was-able

8.16 Κωνσταντῖνος μὲν οὖν, ἔτι τῷ θυμῷ ζέων, ἐπῄει.
Constantinus indeed then still with-the rage boiling came-on
κατιδόντες δὲ Ἰλδίγερ τε καὶ Βαλεριανὸς τὸ
having-seen and Ildiger both and Valerian the(-thing)
ποιούμενον ὁ μὲν τῆς δεξιᾶς, ὁ δὲ τῆς ἑτέρας
being-done the-one indeed the right the-other and the other
αὐτοῦ χειρὸς λαμβανόμενος ὀπίσω ἀνθεῖλκον.
his hand taking-hold back dragged

ἐν τούτῳ δὲ εἰσελθόντες οἱ δορυφόροι, οὓς δὴ ὀλίγῳ 8.17
in this and having-entered the guards whom indeed (a)-little
πρότερον ἐκάλεσε Βελισάριος, Κωνσταντίνου τε τὸ ξιφίδιον
earlier called Belisarius of-Constantinus both the dagger
ξὺν βίᾳ πολλῇ ἐκ χειρὸς αἱροῦσι, καὶ αὐτὸν πολλῷ
with force much from (his)-hand take and him with-much
θορύβῳ ἁρπάσαντες οὐδὲν μὲν ἄχαρι ἐν τῷ παραυτίκα
tumult having-seized nothing indeed unpleasant in the moment
εἰργάσαντο, παρόντας αἰδούμενοι τοὺς ἄρχοντας, οἶμαι,
did present feeling-shame-before the commanders I-think
ἐς οἴκημα δὲ ἄλλο ἀπαγαγόντες, Βελισαρίου κελεύσαντος,
to room and another having-led-away Belisarius having-ordered(-it)
χρόνῳ τινὶ ὕστερον ἔκτειναν.
in-time some later they-killed
τοῦτο Βελισαρίῳ εἴργασται μόνον οὐχ ὅσιον ἔργον καὶ 8.18
this by-Belisarius has-been-done only not holy deed and
ἤθους τοῦ αὐτοῦ οὐδαμῶς ἄξιον. ἐπιεικείᾳ γὰρ πολλῇ
of-character the his in-no-way worthy with-reasonableness for much
ἐς πάντας τοὺς ἄλλους ἐχρῆτο. ἀλλὰ ἔδει, ὅπερ
toward all the others he-dealt but it-was-fated what-very
ἐρρήθη, Κωνσταντίνῳ γενέσθαι κακῶς.
was-said for-Constantinus to-fare badly
Γότθοι τε οὐ πολλῷ ὕστερον ἐς Ῥώμης τὸν περίβολον 9.1
Goths both not much later against of-Rome the circuit-wall
κακουργεῖν ἤθελον. καὶ πρῶτα μέν τινας ἐς τῶν ὀχετῶν
to-do-harm wished and first indeed some into of-the aqueducts
ἕνα νύκτωρ καθῆκαν, ὧν αὐτοὶ τὸ ὕδωρ κατ᾽
one by-night they-let-down of-which they-themselves the water at
ἀρχὰς τοῦδε τοῦ πολέμου ἀφῄρηντο.
(the)-beginnings of-this the war had-taken-away

9.2 οἱ δὲ λύχνα τε καὶ δᾷδας ἐν χερσὶν ἔχοντες ἀπεπειρῶντο
they and lamps both and torches in hands having tried
τῆς ἐς τὴν πόλιν ἐνθένδε εἰσόδου. ἔτυχε δέ τινα
the into the city from-there entry it-happened and some
διώρυχα οὐ μακρὰν Πιγκιανῆς πυλίδος τοῦ ὀχετοῦ
channel not far from-(the)-Pincian postern of-the aqueduct
τούτου κύρτωμα ἔχον.
this (an)-arch having

9.3 ὅθεν δὴ τῶν τις φυλάκων τὸ πῦρ κατιδὼν τοῖς
whence indeed of-the one guards the fire having-seen to-the
ξυμφυλάσσουσιν ἔφρασεν· οἱ δὲ λύκον αὐτοῦ παριόντα
fellow-guards told(-it) they and (a)-wolf there passing-by
ἰδεῖν ἔφασαν.
to-see said

9.4 ταύτῃ γὰρ τὴν γῆν οὐχ ὑπερέχειν τὴν τοῦ ὀχετοῦ
here for the ground not to-rise-above the of-the aqueduct
οἰκοδομίαν ξυνέβαινε, πυρὶ δὲ εἰκάζεσθαι τοὺς τοῦ λύκου
structure it-befell to-fire and to-be-likened the of-the wolf
ὀφθαλμοὺς ᾤοντο.
eyes they-thought

9.5 τῶν μὲν οὖν βαρβάρων ὅσοι τοῦ ὀχετοῦ ἀπεπειράσαντο,
of-the indeed then barbarians as-many-as the aqueduct tried
ἐπειδὴ ἐν μέσῃ πόλει ἐγένοντο, ἔνθα δὴ ἄνοδός τις
ἐπιδιώξαντές τε οἱ βάρβαροι πλείστους μὲν αὐτῶν, 13.11
having-pursued both the barbarians most indeed of-them
ὅσοι οὐκ ἔφθασαν ἐντὸς τοῦ περιβόλου εἰσιέναι, αὐτοῦ
as-many-as not got-in-first within the circuit-wall to-enter there

ἔκτειναν, κλίμακας δὲ τῷ τείχει ἐρείσαντες, τῆς ἀνόδου
killed ladders and against-the wall having-set the ascent
ἀπεπειράσαντο. τινὲς δὲ τὰ ἐκτὸς τοῦ φρουρίου οἰκία ἔκαιον.
tried some and the outside the fortress houses burned

13.12 Ῥωμαῖοι δέ, οἳ καὶ πρότερον τὸ φρούριον ᾤκουν, τοῖς
Romans and who also before the fortress inhabited by-the
παροῦσιν ἐκπεπληγμένοι, προανακλίναντες τὴν πυλίδα,
present(-things) terrified having-opened-beforehand the postern
κόσμῳ οὐδενὶ φεύγοντας τοὺς στρατιώτας ἐδέχοντο.
in-order no fleeing the soldiers received

13.13 ἐπεὶ δὲ τοὺς βαρβάρους ἄγχιστα ἐγκειμένους τοῖς
when and the barbarians nearest pressing-on the(-ones)
φεύγουσιν εἶδον, ὅπως μὴ συνεισβάλλωσι δείσαντες, τὰς
fleeing they-saw that not should-burst-in-together having-feared the
μὲν πύλας κατὰ τάχος ἐπέθεντο, ἐκ δὲ τῶν ἐπάλξεων
indeed gates with speed they-shut from and the battlements
βρόχους καθέντες, ἄλλους τέ τινας καὶ Κόνωνα αὐτὸν
nooses having-let-down others both some and Conon himself
ἀνέλκοντες διεσώσαντο.
drawing-up saved

13.14 ταῖς μέντοι κλίμαξιν ἀνιόντες οἱ βάρβαροι παρ᾽ ὀλίγον
by-the however ladders climbing the barbarians near little
ἦλθον τὸ φρούριον κατὰ κράτος ἑλεῖν, εἰ μὴ ἄνδρες δύο,
came the fortress by force to-take if not men two
ἔργα θαυμάσια ἐνδεικνύμενοι, ἤδη αὐτοὺς τοὺς ἐν ταῖς
deeds wonderful displaying already them the(-men) on the
ἐπάλξεσι γενομένους ἀρετῇ ὤσαντο, ὧν ὁ μὲν
battlements having-got by-valor thrust-back of-whom the(-one) indeed
Βελισαρίου δορυφόρος ἦν ἐκ Θρᾴκης, Οὐλιμοὺθ ὄνομα,
of-Belisarius guard was from Thrace Ulimuth by-name
ὁ δὲ Βαλεριανοῦ, Γουβουλγουδοῦ, Μασσαγέτης γένος.
the(-other) and of-Valerian Gubulgudu (a)-Massagete by-race

τούτω γὰρ τὼ ἄνδρε τύχῃ μέν τινι καταπεπλευκότε 13.15
these for the-two men by-chance indeed some having-sailed-down
ὀλίγῳ πρότερον ἐς τὸν Ἀγκῶνα ἐτυχέτην. ἐν δὲ τῷ πόνῳ
(a)-little earlier to — Ancon happened in and the struggle
τούτῳ τοὺς ἀνιόντας τοῖς ξίφεσιν ἀμυνόμενοι τὸ μὲν
this the(-men) climbing with-the swords warding-off the indeed
φρούριον παρὰ δόξαν ἔσωσαν, αὐτοὶ δὲ ἡμιθνῆτες
fortress contrary-to expectation they-saved they-themselves and half-dead
καὶ τὸ σῶμα κρεουργηθέντες ὅλον ἐνθένδε ἀπεκομίσθησαν.
and the body backed whole from-there were-carried-off
Τότε Βελισαρίῳ Ναρσῆς ξὺν πολλῇ στρατιᾷ ἐκ Βυζαντίου 13.16
then to-Belisarius Narses with great army from Byzantium
ἥκειν καὶ ἐν Πικηνοῖς εἶναι ἠγγέλλετο. ὁ δὲ Ναρσῆς
to-have-come and in Picenes to-be was-reported — and Narses
οὗτος εὐνοῦχος μὲν ἦν καὶ τῶν βασιλικῶν χρημάτων ταμίας,
this (a)-eunuch indeed was and of-the royal treasures steward
ἄλλως δὲ ὀξὺς καὶ μᾶλλον ἢ κατ᾽ εὐνοῦχον δραστήριος.
otherwise and keen and more than for (a)-eunuch active
στρατιῶται δὲ αὐτῷ πεντακισχίλιοι εἵποντο, ὧν ἄλλοι 13.17
soldiers and him five-thousand followed of-whom others
τε κατὰ συμμορίας ἡγοῦντο καὶ Ἰουστῖνος ὁ τῶν Ἰλλυριῶν
both by companies led and Justinus the of-the Illyrians
στρατηγὸς καὶ Ναρσῆς ἕτερος, ἐξ Ἀρμενίων τῶν Πέρσαις
general and Narses another from Armenians the to-Persians
κατηκόων αὐτόμολος ἐς τὰ Ῥωμαίων ἤθη πρότερον ξὺν
subject (a)-deserter to the of-Romans haunts earlier with
Ἀρατίῳ τἀδελφῷ ἥκων, ὃς ὀλίγῳ ἔμπροσθεν ξὺν ἑτέρῳ
Aratius the-brother having-come who (a)-little before with another
στρατῷ παρὰ Βελισάριον ἐλθὼν ἔτυχεν.
army to Belisarius having-come happened

13.18 εἵποντο δέ οἱ καὶ τοῦ Ἐρούλων ἔθνους δισχίλιοι μάλιστα,
followed and him also of-the of-Eruli nation two-thousand about
ὧν Οὐίσανδός τε καὶ Ἀλουὶθ καὶ Φανίθεος ἦρχον.
whom Visandus both and Aluith and Phanitheus commanded

14.1 Οἵτινες δὲ ἀνθρώπων εἰσὶν Ἔρουλοι καὶ ὅθεν Ῥωμαίοις ἐς
who and of-men are Eruli and whence for-Romans into
ξυμμαχίαν κατέστησαν ἐρῶν ἔρχομαι. ὑπὲρ μὲν Ἴστρον
alliance they-entered to-tell I-come beyond indeed (the)-Ister
ποταμὸν ἐκ παλαιοῦ ᾤκουν πολύν τινα νομίζοντες θεῶν
river from of-old they-dwelt great some believing of-gods
ὅμιλον, οὓς δὴ καὶ ἀνθρώπων θυσίαις ἱλάσκεσθαι
throng whom indeed also of-men with-sacrifices to-propitiate
ὅσιον αὐτοῖς ἐδόκει εἶναι.
holy to-them it-seemed to-be

14.2 νόμοις δὲ πολλοῖς οὐ κατὰ ταὐτὰ τοῖς ἀνθρώπων ἑτέροις
with-customs and many not in-the same-way as-the of-men others
ἐχρῶντο. οὔτε γὰρ γηράσκουσιν οὔτε νοσοῦσιν αὐτοῖς
they-used neither for growing-old nor being-sick for-them
βιοτεύειν ἐξῆν, ἀλλ᾽ ἐπειδάν τις αὐτῶν ἢ γήρᾳ ἢ
to-live it-was-permitted but when any of-them either by-old-age or
νόσῳ ἁλῷη, ἐπάναγκές οἱ ἐγίνετο τοὺς ξυγγενεῖς
by-disease should-be-seized necessary for-him it-was the kinsmen
αἰτεῖσθαι ὅτι τάχιστα ἐξ ἀνθρώπων αὐτὸν ἀφανίζειν.
to-ask as quickest from men him to-make-vanish

14.3 οἱ δὲ ξύλα πολλὰ ἐς μέγα τι ὕψος ξυννήσαντες καθίσαντές
they and wood much to great some height having-heaped-up having-seated
τε τὸν ἄνθρωπον ἐν τῇ τῶν ξύλων ὑπερβολῇ, τῶν τινα
both the man on the of-the wood top of-the one
Ἐρούλων, ἀλλότριον μέντοι, ξὺν ξιφιδίῳ παρ᾽ αὐτὸν ἔπεμπον·
Eruli (a)-stranger however with (a)-dagger to him sent

ξυγγενῆ γὰρ αὐτῷ τὸν φονέα εἶναι οὐ θέμις. ἐπειδὰν 14.4
kinsman for to-him the slayer to-be not (is)-lawful when
δὲ αὐτοῖς ὁ τοῦ ξυγγενοῦς φονεὺς ἐπανῄει, ξύμπαντα
and to-them the of-the kinsman slayer returned all
ἔκαιον αὐτίκα τὰ ξύλα, ἐκ τῶν ἐσχάτων ἀρξάμενοι.
they-burned at-once the wood from the extremities having-begun
παυσαμένης τε αὐτοῖς τῆς φλογὸς ξυλλέξαντες τὰ ὀστᾶ 14.5
having-ceased and for-them the flame having-gathered the bones
ἐν τῷ παραυτίκα τῇ γῇ ἔκρυπτον.
in the moment in-the earth they-bid
Ἐρούλου δὲ ἀνδρὸς τελευτήσαντος ἐπάναγκες τῇ γυναικὶ 14.6
(an)-Erulian and man having-died necessary for-the wife
ἀρετῆς τε μεταποιουμένῃ καὶ κλέος αὑτῇ ἐθελούσῃ
to-valor both laying-claim and renown for-herself wishing
λείπεσθαι βρόχον ἀναψαμένῃ παρὰ τὸν τοῦ ἀνδρὸς τάφον
to-be-left (a)-noose having-fastened beside the of-the husband tomb
οὐκ εἰς μακρὰν θνήσκειν.
not at long to-die
οὐ ποιούσῃ τε ταῦτα περιειστήκει τὸ λοιπὸν ἀδόξῳ 14.7
not doing and these(-things) it-came-round-to(-her) the rest without-glory
τε εἶναι καὶ τοῖς τοῦ ἀνδρὸς συγγενέσι προσκεκρουκέναι.
both to-be and with-the of-the husband kinsmen to-have-offended
τοιούτοις μὲν ἐχρῶντο Ἔρουλοι τὸ παλαιὸν νόμοις.
with-such indeed used Eruli the(-time) of-old customs
Προϊόντος δὲ χρόνου δυνάμει τε καὶ πολυανθρωπίᾳ τῶν 14.8
going-on and time in-power both and populousness than-the
περιοίκων βαρβάρων ἁπάντων καθυπέρτεροι γεγενημένοι,
neighboring barbarians all superior having-become
ἐπιόντες τε, ὡς τὸ εἰκός, ἑκάστους ἐνίκων καὶ βιαζόμενοι
attacking both as the likely each they-conquered and forcing
ἐληΐζοντο.
plundered

14.9 καὶ τελευτῶντες Λαγγοβάρδας τε Χριστιανοὺς ὄντας καὶ
and finally Langobards both Christians being and
ἄλλα ἄττα ἔθνη ὑπήκοα σφίσιν ἐς ἀπαγωγὴν φόρου
other certain nations subject to-them for paying of-tribute
πεποίηνται, οὐκ εἰθισμένον τὸ πρᾶγμα τοῦτο τοῖς ἐκείνῃ
they-have-made not customary the thing this for-the there
βαρβάροις, ὑπὸ δὲ φιλοχρηματίας τε καὶ ἀλαζονείας
barbarians by and love-of-money both and boastfulness
ἐνταῦθα ἠγμένοι.
to-this led

14.10 ἡνίκα μέντοι Ἀναστάσιος Ῥωμαίων τὴν βασιλείαν παρέλαβεν,
when however Anastasius of-Romans the kingship took-over
οὐκ ἔχοντες Ἔρουλοι ἐφ᾽ οὕστινας ἀνθρώπους τὸ λοιπὸν
not having Eruli against what men the rest
ἔλθοιεν, καταθέμενοι τὰ ὅπλα ἡσυχῇ ἔμενον, χρόνος τε
they-might-go having-laid-down the arms quietly they-stayed time both
αὐτοῖς ἐνιαυτῶν τριῶν ἐν ταύτῃ δὴ τῇ εἰρήνῃ ἐτρίβη.
for-them of-years three in this indeed the peace was-spent

14.11 καὶ αὐτοὶ ἐς ἄγαν ἀχθόμενοι Ῥοδοῦλφον ἀνέδην σφῶν
and they-themselves to excess being-vexed Rodulphus openly their
τὸν ἡγεμόνα ἐκάκιζον, φοιτῶντές τε ἀεὶ παρ᾽ αὐτὸν
the leader reviled going both always to him
μαλθακόν τε καὶ γυναικώδη ἐκάλουν, ἄλλοις τέ τισιν
soft both and womanish called(-him) with-other both some
αὐτὸν ἐρεσχελοῦντες ὀνόμασι κόσμῳ οὐδενὶ ἐλοιδοροῦντο.
him mocking names in-order no abused(-him)

14.12 Ῥοδοῦλφός τε τὴν ὕβριν ὡς ἥκιστα φέρων ἐπὶ
Rodulphus both the insult as least bearing against
Λαγγοβάρδας οὐδὲν ἀδικοῦντας ἐστράτευσεν, οὔτε τινὰ
Langobards in-nothing doing-wrong campaigned neither any

σφίσιν ἁμαρτάδα ἐπενεγκὼν οὔτε λύσιν τινὰ τῶν ξυγκειμένων
to-them fault having-charged nor breaking any of-the agreements
σκεψάμενος, ἀλλὰ πόλεμον ἐπιφέρων αἰτίαν οὐκ ἔχοντα.
having-alleged but war bringing (a)-cause not having
ὅπερ ἐπειδὴ Λαγγοβάρδαι ἀκοῇ ἔλαβον, πέμψαντες παρὰ 14.13
which-very when Langobards by-hearing learned having-sent to
τὸν Ῥοδοῦλφον ἀνεπυνθάνοντο καὶ τὴν αἰτίαν ἠξίουν εἰπεῖν,
— Rodulphus they-inquired and the cause asked(-him) to-say
ἧς δὴ ἕνεκα Ἔρουλοι ἐν ὅπλοις ἐπ᾽ αὐτοὺς ἴοιεν,
for-which indeed reason Eruli in arms against them should-go
ὁμολογοῦντες, εἰ μέν τι ἀπεστερήκασι τοῦ φόρου, ἀλλ᾽
agreeing if indeed anything they-had-withheld of-the tribute yet
αὐτίκα μάλα ξὺν μεγάλῳ αὐτὸ ἀποτίσειν· εἰ δὲ μέμφονται
at-once very with great(-interest) it they-would-pay if and they-complain
μέτριον σφίσι τετάχθαι τὸν φόρον, ἀλλὰ μείζω
moderate on-them to-have-been-imposed the tribute yet greater
ποιήσειν αὐτὸν οὐ μήποτε Λαγγοβάρδαι ὀκνηροὶ ἔσονται.
to-make it not ever Langobards reluctant will-be
ταῦτα μὲν τοὺς πρέσβεις προτεινομένους ξὺν ἀπειλῇ 14.14
these(-things) indeed the envoys putting-forward with threat
ὁ Ῥοδοῦλφος ἀποπεμψάμενος πρόσω ἤλαυνεν. οἱ δὲ καὶ
— Rodulphus having-sent-away forward marched they and also
αὖθις πρέσβεις ἑτέρους πρὸς αὐτὸν στείλαντες περὶ τῶν
again envoys other to him having-sent about the
αὐτῶν πολλὰ λιπαροῦντες ἱκέτευον.
same(-things) much entreating supplicated
οὕτω δὲ καὶ τῶν δευτέρων ἀπαλλαγέντων τρίτοι 14.15
thus and also the second(-ones) having-departed third
πρέσβεις παρ᾽ αὐτὸν ἥκοντες ἀπεῖπον Ἐρούλους πόλεμον
envoys to him coming forbade Eruli war
ἀπροφάσιστον μηδαμῶς σφίσιν ἐπενεγκεῖν.
without-pretext in-no-way on-them to-bring

14.16 ἢν γὰρ ἐκεῖνοι γνώμῃ τοιαύτῃ ἐπ᾽ αὐτοὺς ἴωσι, καὶ
if for they with-judgment such against them should-go also
αὐτοὶ οὐχ ἑκούσιοι, ἀλλ᾽ ὡς μάλιστα ἠναγκασμένοι,
they-themselves not willingly but as most compelled
ἀντιτάξονται τοῖς ἐπιοῦσι, μαρτυράμενοι τὸν θεόν,
will-be-arrayed-against the(-ones) attacking having-called-to-witness — God
οὗπερ τῆς ῥοπῆς καὶ βραχεῖά τις τὸ παράπαν
of-whose-very the turn-of-the-scale even small some at all
ἰκμὰς πάσῃ τῇ ἀνθρώπων δυνάμει ἀντίξους ἔσται· αὐτόν
drop to-all the of-men power opposed will-be him
τε εἰκὸς ταῖς τοῦ πολέμου αἰτίαις ἠγμένον ἀμφοτέροις
both (it-is)-likely by-the of-the war causes led for-both
πρυτανεῦσαι τῆς μάχης τὸ πέρας.
to-preside-over of-the battle the end

14.17 οἱ μὲν ταῦτα εἶπον, δεδίσσεσθαι ταύτῃ τοὺς ἐπιόντας
they indeed these(-things) said to-frighten in-this-way the(-ones) attacking
οἰόμενοι, Ἔρουλοι δέ, ὑποστειλάμενοι τῶν πάντων οὐδέν,
thinking Eruli and having-held-back of-the all(-things) nothing
Λαγγοβάρδαις ἔγνωσαν ἐς χεῖρας ἰέναι.
with-Langobards decided to hands to-go

14.18 ἡνίκα δὲ ἀμφότεροι ἄγχιστά πη ἀλλήλων ἐγένοντο,
when and both nearest somewhere each-other they-were
τὸν μὲν ὕπερθεν Λαγγοβαρδῶν ἀέρα ξυνέβαινε μελαίνῃ
the indeed above Langobards air it-befell by-black
τινὶ νεφέλῃ καὶ ἐς ἄγαν παχείᾳ καλύπτεσθαι, ὑπὲρ δὲ
some cloud and to excess thick to-be-covered over and
τοὺς Ἐρούλους αἰθρίαν ὑπερφυῶς εἶναι.
the Eruli clear-sky extraordinarily to-be

14.19 οἷς δὴ τεκμηριούμενος εἴκασεν ἄν τις ἐπὶ
by-which indeed judging would-have-conjectured — anyone for
τῷ σφῶν πονηρῷ ἐς τὴν ξυμβολὴν Ἐρούλους ἰέναι. οὐ
the their harm into the engagement Eruli to-go not

γάρ τι τούτου πικρότερον βαρβάροις τέρας εἰς μάχην
for any than-this more-bitter for-barbarians (a)-portent into battle
καθισταμένοις οἷόν τε εἶναι.
entering possible — to-be
οὐ μέντοι οὐδὲ τούτῳ Ἔρουλοι προσεῖχον τὸν νοῦν, ἀλλὰ 14.20
not however not-even to-this Eruli applied the mind but
παντάπασιν ἀφροντιστήσαντες πολλῷ τῷ καταφρονήματι
altogether having-paid-no-heed with-much the contempt
ἐπὶ τοὺς πολεμίους ἐχώρουν, πλήθει ὁμίλου τὸ τοῦ
against the enemies went by-(the)-multitude of-throng the of-the
πολέμου σταθμώμενοι πέρας.
war weighing end
ἐπεὶ δὲ ἡ μάχη ἐν χερσὶ γέγονε, θνήσκουσι μὲν τῶν 14.21
when and the battle at hands was die indeed of-the
Ἐρούλων πολλοί, θνήσκει δὲ καὶ Ῥοδοῦλφος αὐτός, οἵ
Eruli many dies and also Rodulphus himself the
τε ἄλλοι πάντες φεύγουσιν ἀνὰ κράτος, οὐδεμιᾶς ἀλκῆς
both others all flee with force no resistance
μεμνημένοι.
remembering
καὶ τῶν πολεμίων σφίσιν ἐπισπομένων οἱ μὲν πλεῖστοι 14.22
and the enemies them following the indeed most
αὐτοῦ ἔπεσον, ὀλίγοι δέ τινες διεσώθησαν.
there fell few and some were-saved
Διὸ δὴ ἐνδιατρίβειν ἤθεσι τοῖς πατρῴοις οὐκέτι εἶχον, 14.23
wherefore indeed to-spend-time-in customs the ancestral no-longer they-could
ἀλλ᾽ ἐνθένδε ὅτι τάχιστα ἐξαναστάντες ἐπίπροσθεν ἀεὶ
but from-there as quickest having-risen-up forward always
ἐχώρουν, τὴν γῆν ξύμπασαν, ἣ ἐκτὸς Ἴστρου ποταμοῦ
went the land all which outside (the)-Ister river
ἐστι, ξύν τε παισὶ καὶ γυναιξὶ περιιόντες.
is with both children and wives going-around

14.24 ἐπεὶ δὲ ἀφίκοντο ἐς χώραν, οὗ δὴ Ῥογοὶ τὸ
when and they-arrived at (the)-land where indeed Rogi the(-time)
παλαιὸν ᾤκηντο, οἳ τῷ Γότθων στρατῷ ἀναμιχθέντες
of-old dwelt who with-the of-Goths army having-mingled
ἐς Ἰταλίαν ἐχώρησαν, ἐνταῦθα ἱδρύσαντο.
to Italy went there they-settled

14.25 ἀλλ᾽ ἐπεὶ τῷ λιμῷ ἐπιέζοντο ἅτε ἐν χώρᾳ ἐρήμῳ
but since by-the famine they-were-pressed as in land desolate
ἐνθένδε οὐ πολλῷ ὕστερον ἐξαναστάντες, ἄγχιστά που
from-there not much later having-risen-up nearest somewhere
τῆς Γηπαίδων χώρας ἀφίκοντο.
of-the of-Gepids land they-arrived

14.26 καὶ αὐτοὺς Γήπαιδες τὰ μὲν πρῶτα ἱκέτας γενομένους
and them Gepids the indeed first(-time) suppliants having-become
ἐνοικίζεσθαί τε καὶ προσοίκους σφίσι ξυνεχώρουν εἶναι.
to-settle both and neighbors to-them allowed to-be

14.27 ἔπειτα δὲ ἤρξαντο ἐξ αἰτίας οὐδεμιᾶς ἀνόσια ἔργα ἐς
then and they-began from cause no unholy deeds toward
αὐτοὺς ἐνδείκνυσθαι. γυναῖκά τε γὰρ ἐβιάζοντο καὶ βοῦς
them to-display wives both for they-forced and oxen
τε καὶ ἄλλα χρήματα ἥρπαζον, καὶ ἀδικίας οὐδ᾽ ὁτιοῦν
both and other possessions seized and of-wrong not-even anything
ὑπελείποντο, καὶ τελευτῶντες ἀδίκων χειρῶν ἐς αὐτοὺς
they-left-out and finally of-unjust hands toward them
ἦρχον.
began

14.28 ἅπερ Ἔρουλοι φέρειν τὸ λοιπὸν οὐχ οἷοί τε ὄντες
which-very Eruli to-bear the rest not able — being
Ἴστρον τε ποταμὸν διαβαίνουσι καὶ τοῖς ἐκείνῃ Ῥωμαίοις
(the)-Ister both river cross and to-the there Romans
προσοικεῖν ἔγνωσαν, Ἀναστασίου τὴν αὐτοκράτορος ἀρχὴν
to-dwell-beside decided Anastasius the of-emperor rule

ἔχοντος, ὅσπερ αὐτοὺς πολλῇ φιλοφροσύνῃ δεξάμενος
holding who-very them with-much kindness having-received
ἱδρύεσθαι αὐτοῦ εἴασε.
to-settle there allowed
χρόνῳ δὲ οὐ πολλῷ ὕστερον προσκεκρούκασιν αὐτῷ οἱ 14.29
in-time and not much later have-offended him the
βάρβαροι οὗτοι, ἀνόσια ἔργα ἐργασάμενοι τοὺς ταύτῃ
barbarians these unholy deeds having-done to-the there
Ῥωμαίους. διὸ δὴ στράτευμα ἐπ᾽ αὐτοὺς ἔπεμψε.
Romans wherefore indeed (an)-army against them he-sent
νικήσαντες δὲ τῇ μάχῃ Ῥωμαῖοι πλείστους μὲν ἔκτειναν, 14.30
having-conquered and in-the battle Romans most indeed killed
ἐν ἐξουσίᾳ δὲ πολλῇ ξύμπαντας διαφθεῖραι γεγόνασιν.
in power and much all to-destroy they-were
ἀλλ᾽ εἰς ἱκετείαν τῶν στρατηγῶν οἱ κατάλοιποι αὐτῶν 14.31
but into supplication of-the generals the remaining of-them
γεγονότες ἐδέοντο διασώσασθαί τε αὐτοὺς καὶ ξυμμάχους
having-come asked to-preserve both them and allies
τε καὶ βασιλέως ὑπηρέτας τὸ λοιπὸν ἔχειν.
both and of-(the)-emperor servants the rest to-have
ταῦτά τε μαθόντα τὸν Ἀναστάσιον ἤρεσκε, καὶ ἀπ᾽ 14.32
these(-things) both having-learned — Anastasius it-pleased and from
αὐτοῦ λειφθῆναι μέν τισιν Ἐρούλων ξυνέβη, οὐ μέντοι
this to-be-left indeed to-some of-Eruli it-befell not however
οὔτε ξύμμαχοι Ῥωμαίοις γεγένηνται οὔτε τι εἰργάσαντο
either allies to-Romans they-have-become or any did
αὐτοὺς ἀγαθόν.
them good
ἐπεὶ δὲ Ἰουστινιανὸς τὴν βασιλείαν παρέλαβε, χώρᾳ 14.33
when and Justinian the kingship took-over with-land
τε ἀγαθῇ καὶ ἄλλοις χρήμασιν αὐτοὺς δωρησάμενος,
both good and with-other possessions them having-presented

ἑταιρίζεσθαί τε παντελῶς ἴσχυσε καὶ Χριστιανοὺς
to-make-companions both completely he-was-able and Christians
γενέσθαι ἅπαντας ἔπεισε.
to-become all persuaded

14.34 διόπερ τὴν δίαιταν ἐπὶ τὸ ἡμερώτερον μεταβαλόντες τοῖς
wherefore the way-of-life to the gentler having-changed to-the
Χριστιανῶν νόμοις ἐπὶ πλεῖστον προσχωρεῖν ἔγνωσαν,
of-Christians laws for most(-part) to-conform they-decided
καὶ Ῥωμαίοις κατὰ τὸ ξυμμαχικὸν τὰ πολλὰ ἐπὶ
and with-Romans according-to the alliance the most(-times) against
τοὺς πολεμίους ξυντάσσονται.
the enemies are-ranged

14.35 ἔτι μέντοι αὐτοῖς εἰσιν ἄπιστοι καὶ πλεονεξίᾳ ἐχόμενοι
still however toward-them they-are faithless and by-greed held
βιάζεσθαι τοὺς πέλας ἐν σπουδῇ ἔχουσιν, οὐ φέροντος
to-force the neighbors in zeal have not bringing
αὐτοῖς αἰσχύνην τοῦ ἔργου.
to-them shame of-the deed

14.36 καὶ μίξεις οὐχ ὁσίας τελοῦσιν, ἄλλας τε καὶ ἀνδρῶν
and intercourses not holy they-perform others both and of-men
καὶ ὄνων, καί εἰσι πονηρότατοι ἀνθρώπων ἁπάντων καὶ
and of-asses and they-are most-wicked of-men all and
κακοὶ κακῶς ἀπολούμενοι.
evil evilly going-to-perish

14.37 ὕστερον δὲ αὐτῶν ὀλίγοι μέν τινες ἔνσπονδοι Ῥωμαίοις
later and of-them few indeed some in-treaty with-Romans
διέμειναν, ὥσπερ μοι ἐν τοῖς ὄπισθεν λόγοις γεγράψεται·
remained as by-me in the later accounts it-will-be-written
οἱ δὲ λοιποὶ ἅπαντες ἀπέστησαν ἐξ αἰτίας τοιᾶσδε.
the and rest all revolted from cause such

Ἔρουλοι τὸ τοῦ τρόπου θηριώδές τε καὶ μανιῶδες 14.38
Eruli the of-the character beastly both and mad
ἐνδειξάμενοι ἐς τὸν αὐτῶν ῥῆγα (ἦν δὲ οὗτος
having-displayed toward the their rex was and this
ἀνὴρ Ὄχος ὄνομα), ἐξαπιναίως τὸν ἄνθρωπον ἀπ᾽
(a)-man Ochus by-name suddenly the man from
οὐδεμιᾶς αἰτίας ἔκτειναν, ἄλλο οὐδὲν ἐπενεγκόντες ἢ ὅτι
no cause killed other nothing having-alleged than that
ἀβασίλευτοι τὸ λοιπὸν βούλονται εἶναι.
kingless the rest they-wish to-be
καίτοι καὶ πρότερον ὄνομα μὲν αὐτοῖς ὁ βασιλεὺς 14.39
and-yet also before (a)-name indeed among-them the king
εἶχεν, ἰδιώτου δὲ ὁτουοῦν οὐδέν τι σχεδὸν ἐφέρετο
had than-(a)-private-man and any nothing at-all nearly carried-off
πλέον.
more
ἀλλὰ καὶ ξυγκαθῆσθαι αὐτῷ ἅπαντες καὶ ξύσσιτοι εἶναι 14.40
but also to-sit-with him all and to-eat-with to-be
ἠξίουν, καὶ ἀνέδην ὅστις βούλοιτο ἐς αὐτὸν ὕβριζεν·
thought-fit and openly whoever wished against him behaved-insolently
ἀσυνθετώτεροι γὰρ ἢ ἀσταθμητότεροι Ἐρούλων εἰσὶν 14.41
more-faithless for or more-unstable than-Eruli are
ἀνθρώπων οὐδένες. τοῦ δὲ κακοῦ σφίσιν ἐξειργασμένου
of-men none the and evil by-them having-been-done
μετέμελεν ἤδη.
they-repented already
ἔφασκον γὰρ ἄναρχοί τε καὶ ἀστρατήγητοι βιοτεύειν οὐχ 14.42
they-said for without-ruler both and without-general to-live not
οἷοί τε εἶναι· πολλὰ γοῦν σφίσι βουλευσαμένοις ἄμεινον
able — to-be much at-any-rate for-them having-deliberated better
τῷ παντὶ ἔδοξεν εἶναι τῶν τινα γένους τοῦ βασιλείου
in-the whole it-seemed to-be of-the one race of-the royal

μεταπέμψασθαι ἐκ Θούλης τῆς νήσου. ὅ τι δὲ τοῦτό
to-send-for from Thule the island what — and this
ἐστιν αὐτίκα δηλώσω.
is at-once I-will-show

XIX · THULE; ARIMINUM RELIEVED

Procopius describes Thule, to which the Eruli send for a king. Belisarius meets Narses at Firmum; Narses urges the relief of John at Ariminum. Procopius tells of a child nursed by a goat. As Ildiger comes by sea and Martinus by land, the Goths flee to Ravenna.

15.1 Ἡνίκα Ἔρουλοι Λαγγοβαρδῶν ἡσσηθέντες τῇ μάχῃ ἐξ
when Eruli by-Langobards defeated in-the battle from
ἠθῶν τῶν πατρίων ἀνέστησαν, οἱ μὲν αὐτῶν, ὥσπερ
haunts the ancestral rose-up the(-ones) indeed of-them as
μοι ἔμπροσθεν δεδιήγηται, ᾠκήσαντο ἐς τὰ ἐν Ἰλλυριοῖς
by-me before has-been-narrated settled in the in Illyrians
χωρία, οἱ δὲ δὴ ἄλλοι Ἴστρον ποταμὸν διαβαίνειν
places the and indeed others (the)-Ister river to-cross
οὐδαμῇ ἔγνωσαν, ἀλλ᾽ ἐς αὐτάς που τὰς ἐσχατιὰς τῆς
in-no-way decided but to the-very somewhere the extremities of-the
οἰκουμένης ἱδρύσαντο·
inhabited(-world) settled

15.2 οὗτοι γοῦν πολλῶν ἐκ τοῦ βασιλείου αἵματος ἡγουμένων
these at-any-rate many from the royal blood leading
σφίσιν ἤμειψαν μὲν τὰ Σκλαβηνῶν ἔθνη ἐφεξῆς ἅπαντα,
them passed indeed the of-Sclaveni nations in-succession all
ἔρημον δὲ χώραν διαβάντες ἐνθένδε πολλὴν ἐς τοὺς
desert and land having-crossed from-there much to the
Οὐάρνους καλουμένους ἐχώρησαν.
Varni called went

μεθ᾽ οὓς δὴ καὶ Δανῶν τὰ ἔθνη παρέδραμον οὐ 15.3
after whom indeed also of-Danes the nations they-ran-past not
βιαζομένων σφᾶς τῶν τῇδε βαρβάρων.
forcing them the here barbarians
ἐνθένδε τε ἐς ὠκεανὸν ἀφικόμενοι ἐναυτίλλοντο, Θούλῃ 15.4
from-there both to (the)-ocean having-come they-sailed at-Thule
τε προσχόντες τῇ νήσῳ αὐτοῦ ἔμειναν. ἔστι δὲ ἡ
both having-put-in the island there stayed is and —
Θούλη μεγίστη ἐς ἄγαν. Βρεττανίας γὰρ αὐτὴν πλέον
Thule largest to excess than-Britain for it more
ἢ δεκαπλασίαν ξυμβαίνει εἶναι.
than tenfold it-befalls to-be
κεῖται δὲ αὐτῆς πολλῷ ἄποθεν πρὸς βορρᾶν ἄνεμον. ἐν 15.5
lies and from-it far away toward north wind in
ταύτῃ τῇ νήσῳ γῆ μὲν ἔρημος ἐκ τοῦ ἐπὶ πλεῖστον
this the island land indeed desert for the for most(-part)
τυγχάνει οὖσα, ἐν χώρᾳ δὲ τῇ οἰκουμένῃ ἔθνη τριακαίδεκα
happens being in land and the inhabited nations thirteen
πολυανθρωπότατα ἵδρυται· βασιλεῖς τέ εἰσι κατὰ ἔθνος
most-populous are-settled kings both there-are for nation
ἕκαστον.
each
ἐνταῦθα γίνεταί τι ἀνὰ πᾶν ἔτος θαυμάσιον οἷον. 15.6
there happens something throughout every year wonderful such-as
ὁ γὰρ ἥλιος ἀμφὶ θερινὰς μὲν τροπὰς μάλιστα ἐς
the for sun about summer indeed solstice about for
ἡμέρας τεσσαράκοντα οὐδαμῇ δύει, ἀλλὰ διηνεκῶς πάντα
days forty in-no-way sets but continuously all
τοῦτον τὸν χρόνον ὑπὲρ γῆς φαίνεται.
this the time above earth appears

15.7 μησὶ δὲ οὐχ ἧσσον ἢ ἓξ ὕστερον ἀμφὶ τὰς χειμερινάς
by-months and not less than six later about the winter
που τροπὰς ἥλιος μὲν ἐς ἡμέρας τεσσαράκοντα
somewhere solstice (the)-sun indeed for days forty
τῆς νήσου ταύτης οὐδαμῆ φαίνεται, νὺξ δὲ αὐτῆς
of-the island this in-no-way appears night and over-it
ἀπέραντος κατακέχυται· κατήφειά τε ἀπ᾽ αὐτοῦ ἔχει
endless is-poured-down dejection both from this holds
πάντα τοῦτον τὸν χρόνον τοὺς τῇδε ἀνθρώπους, ἐπεὶ
all this the time the here men since
ἀλλήλοις ἐπιμίγνυσθαι μεταξὺ οὐδεμιᾷ μηχανῇ ἔχουσιν.
with-each-other to-mingle meanwhile by-no means they-can

15.8 ἐμοὶ μὲν οὖν ἐς ταύτην ἰέναι τὴν νῆσον τῶν τε
to-me indeed then to this to-go the island of-the(-things) both
εἰρημένων αὐτόπτῃ γενέσθαι, καίπερ γλιχομένῳ, τρόπῳ
told (an)-eyewitness to-become although desiring(-it) in-way
οὐδενὶ ξυνηνέχθη.
no it-befell

15.9 τῶν μέντοι ἐς ἡμᾶς ἐνθένδε ἀφικομένων ἐπυνθανόμην ὅπη
of-the(-men) however to us from-there having-come I-inquired how
ποτὲ οἷοί τέ εἰσι τῶν ἡμερῶν λογίζεσθαι τὸ μέτρον οὔτε
ever able — they-are of-the days to-reckon the measure neither
ἀνίσχοντος οὔτε δύοντος τοῖς καθήκουσι χρόνοις ἐνταῦθα
rising nor setting at-the proper times there
ἡλίου. οἵπερ ἐμοὶ λόγον ἀληθῆ τε καὶ πιστὸν ἔφρασαν.
(the)-sun who-very to-me (an)-account true both and credible told

15.10 τὸν γὰρ ἥλιόν φασι τὰς τεσσαράκοντα ἡμέρας ἐκείνας
the for sun they-say the forty days those
οὐ δύειν μέν, ὥσπερ εἴρηται, φαίνεσθαι δὲ τοῖς ταύτῃ
not to-set indeed as has-been-said to-appear and to-the there
ἀνθρώποις πὴ μὲν πρὸς ἕω, πὴ δὲ πρὸς ἑσπέραν.
men at-one-time indeed toward east at-another and toward west

ἐπειδὰν οὖν ἐπανιὼν αὖθις ἀμφὶ τὸν ὁρίζοντά τε 15.11
when then returning again about the horizon both
γινόμενος ἐς τὸν αὐτὸν ἀφίκηται χῶρον, οὗπερ αὐτὸν
being to the same it-arrives place where-very it
ἀνίσχοντα τὰ πρότερα ἑώρων, ἡμέραν οὕτω καὶ νύκτα
rising the earlier(-times) they-saw (a)-day thus and night
μίαν παρῳχηκέναι διαριθμοῦνται.
one to-have-passed they-reckon
καὶ ἡνίκα μέντοι ὁ τῶν νυκτῶν χρόνος ἀφίκηται, τῆς τε 15.12
and when however the of-the nights time arrives of-the both
σελήνης τῶν τε ἄστρων ἀεὶ τοῖς δρόμοις τεκμηριούμενοι
moon of-the both stars always by-the courses judging
τὸ τῶν ἡμερῶν λογίζονται μέτρον.
the of-the days they-reckon measure
ὁπηνίκα δὲ πέντε καὶ τριάκοντα ἡμερῶν χρόνος τῇ μακρᾷ 15.13
when and five and thirty of-days time the long
ταύτῃ διαδράμοι νυκτί, στέλλονταί τινες ἐς τῶν ὀρῶν
this has-run night are-sent some to of-the mountains
τὰς ὑπερβολάς, εἰθισμένον αὐτοῖς τοῦτό γε, τόν τε
the summits customary for-them this at-least the both
ἥλιον ἀμηγέπη ἐνθένδε ὁρῶντες ἀπαγγέλλουσι τοῖς κάτω
sun somehow from-there seeing they-report to-the below
ἀνθρώποις, ὅτι δὴ πέντε ἡμερῶν ἥλιος αὐτοὺς καταλάμψοι.
men that indeed in-five days (the)-sun them will-shine-upon
οἱ δὲ πανδημεὶ πανηγυρίζουσιν εὐαγγέλια καὶ ταῦτα ἐν 15.14
they and in-full-force celebrate good-news and this in
σκότῳ. αὕτη τε Θουλίταις ἡ μεγίστη τῶν ἑορτῶν ἐστι.
darkness this both to-Thulites the greatest of-the festivals is

15.15 δοκοῦσι γάρ μοι περιδεεῖς ἀεὶ γίνεσθαι οἱ νησιῶται
seem for to-me very-fearful always to-become the islanders
οὗτοι, καίπερ ταὐτὸ συμβαῖνον σφίσιν ἀνὰ πᾶν ἔτος,
these although the-same happening to-them throughout every year
μή ποτε αὐτοὺς ἐπιλείποι τὸ παράπαν ὁ ἥλιος.
lest ever them should-fail at at-all the sun

15.16 Τῶν δὲ ἱδρυμένων ἐν Θούλῃ βαρβάρων ἓν μόνον ἔθνος, οἳ
of-the and settled in Thule barbarians one only nation who
Σκριθίφινοι ἐπικαλοῦνται, θηριώδη τινὰ βιοτὴν ἔχουσιν. οὔτε
Scrithiphini are-called beastly some life have neither
γὰρ ἱμάτια ἐνδιδύσκονται οὔτε ὑποδεδεμένοι βαδίζουσιν οὔτε
for garments they-put-on nor shod they-walk nor
οἶνον πίνουσιν οὔτε τι ἐδώδιμον ἐκ τῆς γῆς ἔχουσιν.
wine they-drink nor anything edible from the earth they-have

15.17 οὔτε γὰρ αὐτοὶ γῆν γεωργοῦσιν οὔτε τι αὐτοῖς αἱ
neither for they-themselves land till nor anything for-them the
γυναῖκες ἐργάζονται, ἀλλὰ ἄνδρες ἀεὶ ξὺν ταῖς γυναιξὶ
women work but men always with the women
τὴν θήραν μόνην ἐπιτηδεύουσι.
the hunt only practice

15.18 θηρίων τε γὰρ καὶ ἄλλων ζῴων μέγα τι χρῆμα αἵ τε
of-beasts both for and other animals great some quantity the both
ὕλαι αὐτοῖς φέρουσι, μεγάλαι ὑπερφυῶς οὖσαι, καὶ τὰ
forests for-them bear great extraordinarily being and the
ὄρη, ἃ ταύτῃ ἀνέχει.
mountains which there rise

15.19 καὶ κρέασι μὲν θηρίων ἀεὶ τῶν ἁλισκομένων σιτίζονται,
and on-flesh indeed of-beasts always the being-caught they-feed
τὰ δέρματα δὲ ἀμφιέννυνται, ἐπεί τε αὐτοῖς οὔτε λίνον
the skins and they-wear since both to-them neither linen
οὔτε ὄργανον ὅτῳ ῥάπτοιέν ἐστιν, οἱ δὲ τῶν θηρίων
nor tool with-which they-might-sew is they and of-the beasts

τοῖς νεύροις τὰ δέρματα ἐς ἄλληλα ταῦτα ξυνδέοντες
with-the sinews the skins to each-other these binding-together
οὕτω δὴ ἐς τὸ σῶμα ὅλον ἀμπίσχονται.
thus indeed over the body whole clothe-themselves
οὐ μὴν οὐδὲ τὰ βρέφη αὐτοῖς κατὰ ταὐτὰ τιθηνοῦνται 15.20
not indeed not-even the babies among-them in-the same-way are-nursed
τοῖς ἄλλοις ἀνθρώποις.
as-the other men
οὐ γὰρ σιτίζονται Σκριθιφίνων παιδία γυναικῶν γάλακτι 15.21
not for are-fed of-Scrithiphini children of-women with-milk
οὐδὲ μητέρων ἅπτονται τιτθοῦ, ἀλλὰ ζώων τῶν
nor of-mothers they-touch (the)-breast but of-animals the
ἁλισκομένων τοῖς μυελοῖς ἐκτρέφονται μόνοις.
being-caught on-the marrows are-reared only
ἐπειδὰν οὖν γυνὴ τάχιστα τέκοι, δέρματι τὸ βρέφος 15.22
when then (a)-woman quickest gives-birth in-(a)-skin the baby
ἐμβαλομένη κρεμᾷ μὲν εὐθὺς ἐπὶ δένδρου τινός, μυελὸν
having-put she-hangs indeed at-once on tree some marrow
δέ οἱ ἐπὶ τοῦ στόματος ἐνθεμένη ξὺν τῷ ἀνδρὶ ἐπὶ τὴν
and to-it on the mouth having-put with the husband to the
εἰωθυῖαν στέλλεται θήραν. ἐπὶ κοινῇ γὰρ τά τε ἄλλα
customary sets-out hunt in common for the both other(-things)
δρῶσι καὶ τὸ ἐπιτήδευμα μετίασι τοῦτο.
they-do and the pursuit follow this
τούτοις μὲν οὖν δὴ τοῖς βαρβάροις τὰ ἐς τὴν δίαιταν 15.23
for-these indeed then indeed the barbarians the(-things) as-to the way-of-life
ταύτῃ πη ἔχει. οἱ μέντοι ἄλλοι Θουλῖται ὡς εἰπεῖν ἅπαντες
thus somehow stand the however other Thulites so-to to-speak all
οὐδέν τι μέγα διαλλάσσουσι τῶν ἄλλων ἀνθρώπων,
nothing at-all great differ from-the other men
θεοὺς μέντοι καὶ δαίμονας πολλοὺς σέβουσιν, οὐρανίους τε
gods however and demons many they-revere heavenly both

καὶ ἀερίους, ἐγγείους τε καὶ θαλασσίους, καὶ ἄλλα ἄττα
and of-the-air earthly both and of-the-sea and other certain
δαιμόνια ἐν ὕδασι πηγῶν τε καὶ ποταμῶν εἶναι λεγόμενα.
spirits in waters of-springs both and of-rivers to-be said
15.24 θύουσι δὲ ἐνδελεχέστατα ἱερεῖα πάντα καὶ ἐναγίζουσι,
they-sacrifice and most-continually victims all and offer-sacrifices
τῶν δὲ ἱερείων σφίσι τὸ κάλλιστον ἄνθρωπός ἐστιν
of-the and victims for-them the finest (a)-man is
ὅνπερ δορυάλωτον ποιήσαιντο πρῶτον.
whom-very spear-captured they-should-make first
15.25 τοῦτον γὰρ τῷ Ἄρει θύουσιν, ἐπεὶ θεὸν αὐτὸν νομίζουσι
this for — to-Ares they-sacrifice since god him they-consider
μέγιστον εἶναι. ἱερῶνται δὲ τὸν αἰχμάλωτον οὐ θύοντες
greatest to-be they-sacrifice and the captive not slaughtering
μόνον, ἀλλὰ καὶ ἀπὸ ξύλου κρεμῶντες, καὶ ἐς τὰς
only but also from (a)-tree hanging and into the
ἀκάνθας ῥιπτοῦντες, ταῖς ἄλλαις τε κτείνοντες θανάτου
thorns throwing with-the other both killing of-death
ἰδέαις οἰκτίσταις.
forms most-pitiable
15.26 οὕτω μὲν Θουλῖται βιοῦσιν. ὧν ἔθνος ἓν πολυάνθρωπον
thus indeed Thulites live of-whom nation one populous
οἱ Γαυτοί εἰσι, παρ᾽ οὓς δὴ Ἐρούλων τότε οἱ ἐπηλύται
the Gauti are beside whom indeed of-Eruli then the newcomers
ἱδρύσαντο.
settled
15.27 Νῦν δὲ Ἔρουλοι, οἳ δὴ παρὰ Ῥωμαίοις ᾤκηνται,
now and Eruli who indeed among Romans dwell
φόνου σφίσι τοῦ βασιλέως ἐξειργασμένου, ἔπεμψαν
(the)-murder by-them of-the king having-been-done sent
τῶν λογίμων τινὰς ἐς Θούλην τὴν νῆσον, τοὺς
of-the notable(-men) some to Thule the island the(-men)

διερευνησομένους τε καὶ κομιοῦντας, ἤν τινα ἐνταῦθα
going-to-search-out both and going-to-bring if any there
εὑρεῖν αἵματος τοῦ βασιλείου οἵοί τε ὦσιν.
to-find of-blood the royal able — they-should-be
ἐπεί τε οἱ ἄνδρες οὗτοι ἐν τῇ νήσῳ ἐγένοντο, πολλοὺς 15.28
when both the men these on the island got many
μὲν ἐνταῦθα γένους τοῦ βασιλείου εὗρον, ἕνα μέντοι
indeed there of-race the royal found one however
ἀπολέξαντες, ὅσπερ αὐτοῖς μάλιστα ἤρεσκεν, ὀπίσω
having-chosen who-very them most pleased back
ἀναστρέφοντες ξὺν αὐτῷ ᾔεσαν.
turning with him went
ὃς δὴ ἐπεὶ ἐν Δανοῖς ἐγένετο, τελευτᾷ νόσῳ. διὸ 15.29
who indeed when among Danes he-was dies by-disease wherefore
δὴ αὖθις οἱ ἄνδρες οὗτοι ἐν τῇ νήσῳ γενόμενοι ἕτερον
indeed again the men these on the island having-got another
ἐπηγάγοντο Δάτιον ὄνομα. ᾧ δὴ ὅ τε ἀδελφὸς Ἄορδος
brought Datius by-name whom indeed the both brother Aordus
εἵπετο καὶ τῶν ἐν Θούλῃ Ἐρούλων νεανίαι διακόσιοι.
followed and of-the in Thule Eruli young-men two-hundred
χρόνου δὲ αὐτοῖς ἐν τῇ πορείᾳ ταύτῃ τριβέντος συχνοῦ 15.30
time and for-them on the journey this having-been-spent much
Ἐρούλοις τοῖς ἀμφὶ Σιγγιδόνον ἔννοια γέγονεν ὡς οὐ τὰ
to-Eruli the(-ones) about Singidunum (a)-thought came that not the
ξύμφορα σφίσιν αὐτοῖς ποιοῖεν ἐκ Θούλης ἀρχηγὸν
advantageous(-things) for-them selves they-were-doing from Thule (a)-leader
ἐπαγόμενοι Ἰουστινιανοῦ βασιλέως οὔτι ἐθελουσίου.
bringing Justinian emperor not-at-all willing
πέμψαντες οὖν ἐς Βυζάντιον βασιλέως ἐδέοντο ἄρχοντα 15.31
having-sent then to Byzantium of-(the)-emperor they-asked (a)-ruler
σφίσι πέμψαι, ὃν ἂν αὐτῷ βουλομένῳ εἴη.
for-them to-send whomever — to-him wishing it-might-be

15.32 ὁ δὲ αὐτοῖς τῶν τινα Ἐρούλων ἐκ παλαιοῦ διατριβὴν
he and to-them of-the one Eruli from of-old stay
ἐνταῦθα ἔχοντα εὐθὺς ἔπεμψε, Σουαρτούαν ὄνομα.
there having at-once sent Suartuas by-name
15.33 ὅνπερ Ἔρουλοι εἶδον μὲν τὰ πρῶτα καὶ προσεκύνησαν
whom-very Eruli saw indeed the first(-time) and did-obeisance
ἄσμενοι ἐπιστέλλοντί τε τὰ εἰωθότα ἐπήκουον, ἡμέραις
gladly enjoining both the customary(-things) they-obeyed in-days
δὲ οὐ πολλαῖς ὕστερον ἦκέ τις ἀγγέλλων τοὺς ἐκ
and not many later came someone reporting the(-men) from
Θούλης νήσου ἄγχιστά πη εἶναι.
Thule island nearest somewhere to-be
15.34 καὶ Σουαρτούας μὲν ὡς ἀπολέσων αὐτοὺς ὑπαντιάζειν
and Suartuas indeed as going-to-destroy them to-go-to-meet
ἐκέλευεν, Ἔρουλοι δὲ τὸ βούλευμα ἐπαινέσαντες εὐθὺς
bade Eruli and the plan having-approved at-once
εἵποντο.
followed
15.35 ἐπεὶ δὲ ἡμέρας ὁδῷ ἀλλήλων διεῖχον, νύκτωρ
when and of-(a)-day by-journey from-each-other they-were-distant by-night
μὲν ἀφέντες αὐτὸν ἅπαντες ἐς τοὺς ἐπηλύτας αὐτόμολοι
indeed having-left him all to the newcomers deserters
ἦλθον, αὐτὸς δὲ μόνος ἐς Βυζάντιον ἀποδρὰς ᾤχετο.
came he-himself and alone to Byzantium having-run-away departed
15.36 καὶ βασιλεὺς μὲν πάσῃ δυνάμει κατάγειν ἐς τὴν ἀρχὴν
and (the)-emperor indeed with-all power to-restore to the rule
αὐτὸν ἐν σπουδῇ ἐποιεῖτο, Ἔρουλοι δὲ δύναμιν τῶν
him in zeal made Eruli and (the)-power of-the
Ῥωμαίων δειμαίνοντες Γήπαισι προσχωρεῖν ἔγνωσαν. αὕτη
Romans fearing to-Gepids to-come-over decided this
μὲν Ἐρούλοις αἰτία τῆς ἀποστάσεως γέγονε.
indeed for-Eruli (the)-cause of-the revolt became

Βελισάριος δὲ καὶ Ναρσῆς ξὺν ἀμφοτέροις στρατεύμασιν 16.1
Belisarius and and Narses with both armies
ἀλλήλοις ἀνεμίγνυντο ἀμφὶ πόλιν Φίρμον, ἣ κεῖται
with-each-other mingled about (the)-city Firmum which lies
μὲν παρὰ τὴν ἠϊόνα τοῦ Ἰονίου κόλπου, ἀπέχει δὲ
indeed beside the shore of-the Ionian gulf is-distant and
Αὐξίμου πόλεως ἡμέρας ὁδόν.
from-Auximus city of-(a)-day (a)-journey
ἐνταῦθα δὲ ξὺν πᾶσι τοῖς τοῦ στρατοῦ ἄρχουσιν ἐν 16.2
there and with all the of-the army commanders in
βουλῇ ἐποιοῦντο, ὅπη ποτὲ σφίσι πρότερον ἐπὶ τοὺς
counsel they-held in-what-way ever for-them first against the
πολεμίους ἰοῦσι μᾶλλον ξυνοίσει.
enemies going more it-will-be-advantageous
ἤν τε γὰρ ἐπὶ τοὺς Ἀρίμινον πολιορκοῦντας χωρήσειαν, 16.3
if both for against the(-ones) Ariminum besieging they-should-go
τοὺς ἐν Αὐξίμῳ ὑπώπτευον μὴ κατὰ νώτου ἰόντες σφᾶς
the(-men) in Auximus they-suspected lest at back going them
τε καὶ Ῥωμαίους τοὺς ταύτῃ ᾠκημένους τὰ ἀνήκεστα, ὡς
both and Romans the there dwelling the irreparable(-things) as
τὸ εἰκός, δράσωσι, καὶ ἀμφὶ τοῖς πολιορκουμένοις ἐδείμαινον
the likely they-might-do and about the besieged they-feared
μὴ τῇ ἀπορίᾳ τῶν ἀναγκαίων δεινόν τι πάθωσιν.
lest by-the want of-the necessities terrible something they-might-suffer
οἱ μὲν οὖν πλεῖστοι Ἰωάννῃ χαλεπῶς ἔχοντες ἐποιοῦντο 16.4
the indeed then most toward-John hostile being made
τοὺς λόγους. ἐπεκάλουν γάρ οἱ ὅτι θράσει τε ἀλογίστῳ
the speeches charged for him that by-rashness both thoughtless
καὶ χρημάτων πολλῶν ἔρωτι ἐς τόσον κινδύνου ἀφίκοιτο,
and of-money much by-love to so-great of-danger he-had-come

καὶ οὐκ ἐν τάξει οὐδὲ ᾗ Βελισάριος ἐξηγεῖτο ἐᾷη τὰ
and not in rank nor as Belisarius led allowed the(-things)
τοῦ πολέμου περαίνεσθαι.
of-the war to-be-carried-out

16.5 Ναρσῆς δὲ (καὶ γάρ οἱ φίλτατος ἦν Ἰωάννης ἀνθρώπων
Narses and also for to-him dearest was John of-men
ἁπάντων) δείσας μὴ Βελισάριος πρὸς τὰ τοῖς
all having-feared lest Belisarius to the(-things) by-the
ἄρχουσιν εἰρημένα ἐνδοὺς ἐν δευτέρῳ τὰ ἐν Ἀριμίνῳ
commanders said yielding in second(-place) the in Ariminum
πράγματα θῆται ἔλεξε τοιάδε
affairs should-put said such(-things)

16.6 "Οὐκ ἐν τοῖς εἰωθόσι διαλογίζεσθε, ἄνδρες ἄρχοντες, οὐδὲ
not in the customary(-things) you-deliberate men commanders nor
ὑπὲρ ὧν ἄν τις εἰκότως ἀμφιγνοήσειε τὴν βουλὴν ἔχετε,
about what — anyone reasonably might-doubt the deliberation you-have
ἀλλ' ἐν οἷς πάρεστι καὶ τοῖς ἐς πολέμου πεῖραν οὐδεμίαν
but in which it-is-possible even for-the(-ones) to of-war trial no
ἐλθοῦσι τὴν αἵρεσιν αὐτοσχεδιάζουσιν ἑλέσθαι τὰ κρείσσω.
having-come the choice improvising to-choose the better(-things)

16.7 εἰ μὲν γὰρ ὅ τε κίνδυνος ἐν ἴσῳ εἶναι δοκεῖ καὶ
if indeed for the both danger in equal to-be seems and
βλάβος ἑκατέρωθεν τοῖς γε ἀποτυχοῦσιν ἀντίπαλον,
harm on-each-side to-the(-ones) at-least having-failed equal
βουλεύεσθαί τε ἱκανῶς ἄξιον καὶ λογισμῶν ἐπὶ πλεῖστον
to-deliberate both sufficiently (is)-worthy and to-reckonings for most
ἰοῦσιν οὕτω ποιεῖσθαι τὴν ὑπὲρ τῶν παρόντων διάγνωσιν.
going thus to-make the about the present decision

16.8 ἡμεῖς δὲ εἰ μὲν τὴν ἐς Αὔξιμον προσβολὴν ἐς ἄλλον τινὰ
we and if indeed the on Auximus attack to other some
χρόνον ἀποθέσθαι βουλοίμεθα, τὴν ζημίαν ἐν τοῖς ἀναγκαίοις
time to-put-off we-should-wish the loss in the necessities

οὐδαμῶς ἕξομεν· τί γὰρ ἂν μεταξὺ τὸ διαλλάσσον
in-no-way we-will-have what for — between the difference
εἴη; ἐν Ἀριμίνῳ δέ, ὡς τὸ εἰκός, σφαλέντες, εἰ μὴ λίαν
would-be in Ariminum and as the likely having-failed if not very
πικρὸν εἰπεῖν ᾖ, τὴν Ῥωμαίων ἰσχὺν καταλύσομεν.
bitter to-say it-be the of-Romans strength we-will-destroy
εἰ μὲν οὖν Ἰωάννης ἐς τὰς σὰς ἐντολὰς ὕβρισεν, ἄριστε 16.9
if indeed then John to the your orders was-insolent best
Βελισάριε, πολλήν γε τὴν δίκην ἔχεις παρ᾽ ἐκείνου
Belisarius much at-least the penalty you-have from him
λαβών, ἐπεί σοι πάρεστι σώζειν τε τὸν ἐπταικότα
having-taken since to-you it-is-possible to-save both the(-one) having-stumbled
καὶ τοῖς πολεμίοις προΐεσθαι.
and to-the enemies to-abandon
σκόπει δὲ μὴ τὰς ποινὰς ὧν Ἰωάννης ἀγνοήσας 16.10
consider and lest the penalties of-what John having-been-ignorant
ἥμαρτε παρὰ βασιλέως τε καὶ ἡμῶν λάβῃς. εἰ γὰρ νῦν
erred from (the)-emperor both and us you-should-take if for now
Ἀρίμινον ἐξέλωσι Γότθοι, στρατηγόν τε αὐτοῖς Ῥωμαίων
Ariminum should-take Goths (a)-general both for-them of-Romans
δραστήριον καὶ στράτευμα ὅλον καὶ πόλιν κατήκοον
active and (an)-army whole and (a)-city subject
βασιλεῖ δορυάλωτον πεποιῆσθαι ξυμβήσεται.
to-(the)-emperor spear-captured to-have-made it-will-befall
καὶ οὐκ ἄχρι τούτου στήσεται τὸ δεινόν, ἀλλὰ καὶ 16.11
and not as-far-as this will-stop the terrible(-thing) but also
ξύμπασαν καταστῆσαι τὴν τοῦ πολέμου δυνήσεται τύχην.
all to-settle the of-the war it-will-be-able fortune
οὑτωσὶ γὰρ λογίζου περὶ τῶν πολεμίων, ὡς πλήθει μὲν
thus for reckon about the enemies that by-number indeed
στρατιωτῶν ἔτι καὶ νῦν ἡμῶν παρὰ πολὺ προὔχουσιν, ἐς
of-soldiers still even now us by much they-exceed into

ἀνανδρίαν δὲ οἷς πολλάκις ἐσφάλησαν ἐμπεπτώκασιν.
cowardice and in-that often they-were-tripped-up have-fallen
εἰκότως· τὸ γὰρ τῆς τύχης ἐναντίωμα πᾶσαν αὐτῶν τὴν
reasonably the for of-the fortune contrariety all their the
παρρησίαν ἀφείλετο.
boldness took-away

16.12 ἢν τοίνυν ἐν τῷ παρόντι εὐημερήσωσι, τό τε φρόνημα
if therefore in the present they-should-prosper the both spirit
οὐκ ἐς μακρὰν ἀπολήψονται καὶ τὸ λοιπὸν οὐκ ἐξ
not at long they-will-regain and the rest not from
ἀντιπάλου μόνον ἡμῖν τῆς τόλμης, ἀλλὰ καὶ πολλῷ
equal only with-us the daring but also by-much
μειζόνως τὸν πόλεμον τόνδε διοίσουσι.
more-greatly the war this they-will-carry-on

16.13 φιλοῦσι γὰρ οἱ τῶν δυσκόλων ἀπαλλασσόμενοι
are-wont for the(-ones) from-the difficulties being-freed
τῶν οὔπω δεδυστυχηκότων ἀμείνους ἀεὶ τὰς γνώμας
than-the(-ones) not-yet having-been-unfortunate better always the judgments
εἶναι." Ναρσῆς μὲν τοσαῦτα εἶπε.
to-be Narses indeed so-much said

16.14 Στρατιώτης δέ τις ἐξ Ἀριμίνου λαθὼν
soldier and (a)-certain from Ariminum having-escaped-the-notice-of
τῶν βαρβάρων τὴν φυλακὴν ἔς τε τὸ στρατόπεδον
of-the barbarians the guard to both the camp
ἦλθε καὶ Βελισαρίῳ γράμματα ἔδειξεν, ἃ πρὸς αὐτὸν
came and to-Belisarius letters showed which to him
Ἰωάννης ἔγραψεν.
John wrote

16.15 ἐδήλου δὲ ἡ γραφὴ τάδε "Ἅπαντα ἡμᾶς τὰ ἐπιτήδεια
showed and the writing these(-things) all us the provisions
χρόνου πολλοῦ ἐπιλελοιπέναι καὶ τὸ λοιπὸν μήτε πρὸς τὸν
of-time much to-have-failed and the rest neither against the

δῆμον ἀντέχειν ἡμᾶς ἴσθι μήτε τοὺς ἐπιόντας ἀμύνεσθαι
people to-hold-out us know nor the(-ones) attacking to-ward-off
οἵους τε εἶναι, ἀλλ᾽ ἑπτὰ ἡμερῶν ἀκουσίους ἡμᾶς τε
able — to-be but in-seven days unwilling us both
αὐτοὺς καὶ πόλιν τήνδε τοῖς πολεμίοις ἐγχειριεῖν·
selves and (the)-city this to-the enemies to-hand-over
περαιτέρω γὰρ βιάζεσθαι τὴν παροῦσαν ἀνάγκην ἥκιστα 16.16
further for to-force the present necessity least
ἔχομεν, ἥνπερ ἀπολογεῖσθαι ὑπὲρ ἡμῶν, ἤν τι οὐκ
we-are-able which-very to-plead for us if anything not
εὐπρεπὲς δράσωμεν, ἀξιόχρεων οἶμαι.”
seemly we-should-do adequate I-think
Ἰωάννης μὲν ἔγραψεν ὧδε. Βελισάριος δὲ διηπορεῖτό 16.17
John indeed wrote thus Belisarius and was-at-a-loss
τε καὶ ἐς ἀμηχανίαν ἐπὶ πλεῖστον ἐξέπιπτε. περί τε
both and into perplexity for most(-part) fell about both
γὰρ τοῖς πολιορκουμένοις ἐδείμαινε καὶ τοὺς ἐν Αὐξίμῳ
for the besieged he-feared and the in Auximus
πολεμίους ὑπώπτευε δῃώσειν μὲν ἀδεέστερον ἅπαντα
enemies he-suspected would-ravage indeed more-fearlessly all
περιιόντας τὰ ἐκείνῃ χωρία, σφῶν δὲ κατόπισθεν τὸ
going-around the there places of-them and from-behind the
στρατόπεδον ἐνεδρεύσοντας, ἄλλως τε καὶ ἡνίκα ἂν τοῖς
camp going-to-ambush especially — also when — with-the
ἐναντίοις προσμίξειαν, πολλά τε κακὰ καὶ ἀνήκεστα,
opponents they-should-engage many both evils and irreparable(-things)
ὡς τὸ εἰκός, διεργάσεσθαι.
as the likely would-accomplish
ἔπειτα μέντοι ἐποίει τάδε. Ἀράτιον μὲν ξὺν χιλίοις 16.18
then however he-did these(-things) Aratius indeed with thousand
ἀνδράσιν αὐτοῦ ἔλιπεν, ἐφ᾽ ᾧ πρὸς τῇ θαλάσσῃ
men there he-left on which at the sea

στρατόπεδον ποιήσονται, πόλεως Αὐξίμου σταδίους
(a)-camp they-will-make from-(the)-city Auximus stades
διακοσίους ἀπέχον.
two-hundred distant

16.19 οὓς δὴ ἐκέλευε μήτε πη ἐξανισταμένους ἐνθένδε ἰέναι
whom indeed he-bade neither anywhere rising-up from-there to-go
μήτε διαμάχεσθαι τοῖς πολεμίοις, πλήν γε δὴ ὅσα
nor to-fight-it-out with-the enemies except at-least indeed as-much-as
ἐκ τοῦ στρατοπέδου ἀμυνομένους, ἢν ἐκεῖνοί ποτε ἐπ᾽
from the camp defending(-themselves) if they ever against
αὐτοὺς ἴωσι.
them should-come

16.20 ταύτῃ γὰρ τοὺς βαρβάρους μάλιστα ἤλπιζεν ἄγχιστά
thus for the barbarians most he-hoped nearest
που στρατοπεδευομένων Ῥωμαίων ἔν τε Αὐξίμῳ ἡσυχῇ
somewhere encamped Romans in both Auximus quietly
μενεῖν καὶ οὔποτε κακουργήσοντας σφίσιν ἕψεσθαι.
would-stay and never going-to-do-harm to-them would-follow

16.21 στρατιὰν δὲ ἀξιολογωτάτην ξὺν ναυσὶν ἔπεμψεν, ἧς
(an)-army and most-noteworthy with ships he-sent of-which
Ἡρωδιανός τε καὶ Οὐλίαρις καὶ Ναρσῆς Ἀρατίου ἀδελφὸς
Herodian both and Uliaris and Narses of-Aratius brother
ἦρχον.
commanded

16.22 αὐτοκράτωρ δὲ τῷ στόλῳ Ἰλδίγερ ἐφειστήκει, ᾧ δὴ
autocrat and over-the fleet Ildiger had-been-set to-whom indeed
εὐθὺ Ἀριμίνου Βελισάριος ἐπέστελλε πλεῖν, φυλασσομένῳ
straight for-Ariminum Belisarius enjoined to-sail taking-care
ὅπως μὴ μακρὰν ἀπολελειμμένου τοῦ πεζοῦ στρατοῦ
that not far having-been-left-behind the foot army

καταίρειν ἐς τὴν ἐκείνῃ ἀκτὴν ἐγχειρήσωσιν. ὁδῷ
to-put-in to the there shore they-should-attempt on-(the)-road
γὰρ αὐτοὺς πορεύεσθαι τῆς ἠϊόνος οὐ πολλῷ ἄποθεν.
for them to-travel of-the shore not much away
καὶ στρατιὰν μὲν ἄλλην, ἧς Μαρτῖνος ἦρχε, ταῖς 16.23
and army indeed another of-which Martinus commanded the
ναυσὶ ταύταις παρακολουθοῦντας κατὰ τὴν παραλίαν
ships these following along the coast
ἐκέλευεν ἰέναι, ἐντειλάμενος, ἐπειδὰν ἄγχιστα τῶν πολεμίων
he-bade to-go having-enjoined when nearest the enemies
ἵκωνται, πυρὰ πλείονα καὶ οὐ κατὰ λόγον τοῦ στρατοῦ
they-should-come fires more and not in proportion to-the army
καίειν, δόκησίν τε πλήθους πολλῷ πλείονος τοῖς
to-burn (an)-impression both of-(a)-multitude by-much greater to-the
ἐναντίοις παρέχεσθαι.
opponents to-give
αὐτὸς δὲ ἄλλην ὁδὸν τῆς ἠϊόνος ἀπωτάτω οὖσαν 16.24
he-himself and another road from-the shore farthest being
ξύν τε Ναρσῇ καὶ τῷ ἄλλῳ στρατῷ διὰ πόλεως
with both Narses and the other army through (the)-city
Οὐρβισαλίας ᾔει, ἣν δὴ ἐν τοῖς ἔμπροσθεν χρόνοις
Urbisalia went which indeed in the earlier times
οὕτως Ἀλάριχος καθεῖλεν ὥστε ἄλλο γε αὐτῇ οὐδ᾽
thus Alaric destroyed that other at-least of-it not-even
ὁτιοῦν ἀπολέλειπται τοῦ πρότερον κόσμου, ὅτι μὴ πύλης
anything has-been-left of-the former adornment except — of-gate
μιᾶς καὶ τῆς κατασκευῆς τοῦ ἐδάφους λείψανόν τι βραχύ.
one and of-the construction of-the floor remnant some small

17.1 Ἐνταῦθά μοι ἰδεῖν θέαμα ξυνηνέχθη τοιόνδε. ἡνίκα ὁ
there for-me to-see (a)-sight befell such when the
ξὺν τῷ Ἰωάννῃ στρατὸς ἐς Πικηνοὺς ἦλθε, γέγονεν, ὡς
with — John army to Picenes came there-was as
τὸ εἰκός, ταραχή τις πολλὴ τοῖς ταύτῃ ἀνθρώποις.
the likely confusion some great for-the there men

17.2 τῶν τε γυναικῶν αἱ μὲν ἔφευγον ἐξαπιναίως ὅπη
of-the both women the(-ones) indeed fled suddenly wherever
αὐτῶν ἑκάστῃ δυνατὰ ἐγεγόνει, αἱ δὲ καταλαμβανόμεναι
for-them each possible it-had-been the(-ones) and being-caught
ἤγοντο κόσμῳ οὐδενὶ πρὸς τῶν ἐντυχόντων.
were-led-off in-order no by the(-men) having-met(-them)

17.3 ἐν τούτῳ οὖν τῷ χωρίῳ μία τις γυνὴ ἀρτίως
in this then the place one (a)-certain woman just-now
τεκοῦσα καὶ τὸ παιδίον ἀπολιποῦσα ἐν τοῖς σπαργάνοις
having-given-birth and the child having-left in the swaddling-clothes
ἔτυχε ἐπὶ γῆς κείμενον καὶ εἴτε φεύγουσα εἴτε ὑφ᾽
happened on ground lying and whether fleeing or by
ὁτουοῦν καταληφθεῖσα, ἐνταῦθα ἐπανήκειν οὐκέτι ἔσχεν·
anyone having-been-caught there to-return no-longer could
ἀφανισθῆναι γὰρ αὐτῇ δηλονότι ἢ ἐξ ἀνθρώπων ἢ ἐξ
to-vanish for for-her obviously either from men or from
Ἰταλίας ξυνέπεσε.
Italy it-befell

17.4 τὸ μὲν οὖν παιδίον ἐν ταύτῃ δὴ τῇ ἐρημίᾳ γεγονὸς
the indeed then child in this indeed the solitude having-been
ἔκλαιεν. αἴξ δὲ αὐτὸ μία ἰδοῦσα ᾠκτίζετό τε καὶ πλησίον
cried goat and it one having-seen pitied both and near
ἀφικομένη (ἔναγχος γὰρ τεκοῦσα καὶ αὐτὴ ἔτυχε) τὸν
having-come lately for having-given-birth also she happened the

τιτθὸν ἐδίδου καὶ τὸ παιδίον ξὺν ἐπιμελείᾳ ἐφύλασσε, μὴ
teat gave and the child with care guarded lest
κύων ἤ τι θηρίον αὐτὸ λυμάνηται.
(a)-dog or any beast it should-harm
χρόνου τε τῇ ταραχῇ τριβέντος συχνοῦ τούτου δὴ 17.5
time both in-the confusion having-been-spent much of-this indeed
τοῦ τιτθοῦ ἐπὶ πλεῖστον μεταλαχεῖν τὸ παιδίον ξυνέβη.
the teat for most(-part) to-share the child it-befell
γνωσθὲν δὲ Πικηνοῖς ὕστερον ὅτι δὴ ὁ 17.6
(it)-having-become-known and to-Picenes later that indeed the
βασιλέως στρατὸς ἐπὶ Γότθων μὲν τῷ πονηρῷ ἐνταῦθα
of-(the)-emperor army for of-Goths indeed the harm there
ἥκοι, Ῥωμαῖοι δὲ οὐ πείσονται οὐδὲν πρὸς αὐτοῦ ἄχαρι,
had-come Romans and not will-suffer nothing from it unpleasant
ἐπανῆλθον εὐθὺς οἴκαδε ἅπαντες.
returned at-once home all
ἔν τε Οὐρβισαλίᾳ ξὺν τοῖς ἀνδράσιν αἱ γυναῖκες γενόμεναι, 17.7
in both Urbisalia with the husbands the women having-got
ὅσαι γένος Ῥωμαῖαι ἦσαν, ἐπειδὴ τὸ παιδίον ἐν τοῖς
as-many-as by-race Roman were when the child in the
σπαργάνοις περιὸν εἶδον, τὸ γεγονὸς ξυμβάλλειν οὐδαμῇ
swaddling-clothes surviving they-saw the having-happened to-conjecture in-no-way
ἔχουσαι ἐν θαύματι μεγάλῳ ὅτι δὴ βιῴη πεποίηνται.
being-able in wonder great that indeed it-lived held(-it)
καὶ τὸν τιτθὸν ἑκάστη ἐδίδου, αἳ δὴ πρὸς τοῦτο ἐπιτηδείως 17.8
and the teat each gave who indeed for this suitably
ἔχουσαι ἔτυχον. ἀλλ᾽ οὔτε τὸ παιδίον ἀνθρώπειον γάλα
being happened but neither the child human milk
ἔτι προσίετο καὶ ἡ αἶξ αὐτοῦ μεθίεσθαι ἥκιστα ἤθελεν,
μελλήσει ἐτρίβετο.
delay was-spent
μετὰ δὲ Μαρτῖνος ἀπολύεσθαι τὴν αἰτίαν ἐθέλων 21.13
afterward and Martinus to-clear-himself-of the blame wishing
Βελισαρίῳ ἔγραψε τάδε "Ἔπεμψας ἡμᾶς ὧδε τοῖς
to-Belisarius wrote these(-things) you-sent us here to-the(-ones)
ἐν Μεδιολάνῳ κινδυνεύουσιν ἐπαμυνοῦντας, καὶ ἡμεῖς
in Mediolanum being-in-danger going-to-help and we
πολλῇ σπουδῇ, ὥσπερ σὺ ἐκέλευες, ἄχρι ἐς Πάδον ποταμὸν
with-much zeal as you bade up to (the)-Po river

ἥκομεν, ὃν διαβαίνειν ὁ στρατὸς δέδοικεν, ἐπεὶ δύναμίν
have-come which to-cross the army fears since (a)-power
τε Γότθων μεγάλην καὶ Βουργουζιώνων πάμπολύ τι ξὺν
both of-Goths great and of-Burgundians very-great some with
αὐτοῖς πλῆθος ἐν Λιγούροις εἶναι ἀκούομεν, πρὸς οὕς
them multitude in Ligurians to-be we-hear against whom
γε ἡμεῖς διαμάχεσθαι μόνοι οὐχ οἷοί τε οἰόμεθα εἶναι.
at-least we to-fight-it-out alone not able — we-think to-be
21.14 ἀλλὰ κέλευε Ἰωάννην τε καὶ Ἰουστῖνον ὡς τάχιστα (ἐν
but bid John both and Justinus as quickest in
γειτόνων γὰρ ἡμῖν ἐν Αἰμιλλίων τῇ χώρᾳ εἰσίν) ὁμοῦ
neighborhood for to-us in of-Aemilians the land they-are together-with
τοῖς ἑπομένοις κινδύνου ἡμῖν τοῦδε ξυνάρασθαι.
the(-men) following (the)-danger with-us this to-share
21.15 κοινῇ γὰρ ἐνθένδε ἰόντες αὐτοί τε σῶοι εἶναι καὶ δρᾶν
in-common for from-here going ourselves both safe to-be and to-do
τι κακὸν δυνησόμεθα τοὺς πολεμίους."
some evil we-will-be-able the enemies
21.16 Μαρτίνου μὲν ἡ ἐπιστολὴ τοσαῦτα ἐδήλου. Βελισάριος
of-Martinus indeed the letter so-much showed Belisarius
δέ, ἐπεὶ αὐτὴν ἀνελέξατο, Ἰωάννην τε καὶ Ἰουστῖνον
and when it be-read John both and Justinus
ἐκέλευε ξὺν τοῖς ἀμφὶ Μαρτῖνον ἐς Μεδιόλανον κατὰ
bade with the(-men) about Martinus to Mediolanum with
τάχος ἰέναι. οἱ δὲ πράξειν οὐδὲν ἔφασκον, ὅ τι μὴ
speed to-go they and to-do nothing said what — not
Ναρσῆς ἐπιστέλλοι σφίσι.
Narses should-enjoin on-them
21.17 διὸ δὴ καὶ Ναρσῇ Βελισάριος ἔγραψε τάδε
wherefore indeed also to-Narses Belisarius wrote these(-things)
"Ἓν σῶμα εἶναι πᾶσαν τὴν βασιλέως στρατιὰν νόμιζε,
one body to-be all the of-(the)-emperor army consider

ἣν δὴ ἢν μὴ γνώμην ἐνδείκνυσθαι μίαν ὥσπερ
which indeed if not judgment to-display one as
ἀνθρώπου τὰ μέλη ξυμβαίνει, ἀλλά τι ἀλλήλων χωρὶς
of-(a)-man the limbs it-befalls but somewhat of-each-other apart
ἐνεργεῖν βούλεσθαι, λελείψεται ἡμῖν τῶν δεόντων οὐδὲν
to-act to-wish it-will-be-left to-us of-the needful(-things) nothing
διαπεπραγμένοις ἀπολωλέναι.
having-done to-perish

οὐκοῦν Αἰμιλίαν μὲν ἔα, οὔτε τι ὀχύρωμα ἔχουσαν 21.18
therefore Aemilia indeed let-be neither any stronghold having
οὔτε τινὰ Ῥωμαίοις ἔν γε τῷ παρόντι καιρῷ ῥοπὴν
nor any to-Romans in at-least the present season weight
φέρουσαν.
carrying

σὺ δὲ Ἰωάννην τε καὶ Ἰουστῖνον κέλευε αὐτίκα δὴ 21.19
you and John both and Justinus bid at-once indeed
μάλα εὐθὺ τῶν ἐν Μεδιολάνῳ πολεμίων ξὺν τοῖς ἀμφὶ
very straight for-the in Mediolanum enemies with the(-men) about
Μαρτῖνον ἰέναι, ἐγγύς τε ὄντας καὶ πρὸς τῶν βαρβάρων
Martinus to-go near both being and for of-the barbarians
τὴν ἐπικράτησιν ἱκανῶς ἔχοντας.
the mastery sufficiently being

ἐμοὶ γὰρ ἐνταῦθα στρατιᾶς πλῆθος, ὅπερ ἂν καὶ 21.20
to-me for here of-army (a)-multitude which-very — also
στέλλοιμι, οὐκ εἶναι ξυμβαίνει, ἄλλως τε καὶ στρατιώτας
I-might-send not to-be it-befalls especially — also soldiers
ἐς Μεδιόλανον ἐνθένδε ἰέναι ἀξύμφορον οἶομαι εἶναι.
to Mediolanum from-here to-go unprofitable I-think to-be

χρόνου τε γὰρ τετρίψεται πλῆθος, ὥστε ὀπίσω τοῦ 21.21
of-time both for will-be-spent (a)-quantity so-that behind the
δέοντος καιροῦ ἐς αὐτὴν ἥξουσι, καὶ τοῖς ἵπποις ἐπὶ
proper season to it they-will-arrive and the horses against

τοῖς πολεμίοις χρῆσθαι διὰ μῆκος ὁδοῦ, ἡνίκα ἐς
the enemies to-use because-of (the)-length of-road when to
ἐκείνους ἀφίκωνται, οὐδαμῶς ἕξουσιν.
them they-arrive in-no-way they-will-be-able

21.22 ἦν δέ γε ξύν τε Μαρτίνῳ καὶ Οὐλίαρι οἱ ἄνδρες
if and at-least with both Martinus and Uliaris the men
οὗτοι ἐς Μεδιόλανον ἴωσι, κρατήσουσί τε, ὡς τὸ εἰκός,
these to Mediolanum go they-will-prevail-over both as the likely
τῶν ταύτῃ βαρβάρων, καὶ τὴν Αἰμιλίαν καταλήψονται
the there barbarians and — Aemilia they-will-seize
αὖθις, οὐδενὸς ἔτι ἀντιστατοῦντος."
again none any-longer opposing

21.23 ταῦτα ἐπεὶ Ναρσῆς ἀπενεχθέντα εἶδε τὰ γράμματα,
these(-things) when Narses delivered saw the letters
αὐτὸς μὲν Ἰωάννῃ τε καὶ Ἰουστίνῳ ἐπέστελλεν ἐς
himself indeed to-John both and to-Justinus enjoined to
Μεδιόλανον ξὺν τῷ ἄλλῳ στρατῷ ἰέναι.
Mediolanum with the other army to-go

21.24 ὀλίγῳ δὲ ὕστερον Ἰωάννης μὲν ἐς τὴν παραλίαν ἐστάλη,
(a)-little and later John indeed to the coast was-sent
ὅπως ἀκάτους ἐνθένδε κομίζοι, οὕτω τε διαβαίνειν
so-that boats from-there he-might-bring thus both to-cross
τὸν ποταμὸν ὁ στρατὸς δύνηται. ἀλλὰ νόσος αὐτῷ
the river the army might-be-able but (a)-disease him
ξυμβᾶσα τὰ πρασσόμενα διεκώλυσεν.
having-befallen the(-things) being-done prevented

21.25 Ἐν ᾧ δὲ οἵ τε ἀμφὶ Μαρτῖνον τῇ ἐς τὴν
in which and the(-men) both about Martinus the toward the
διάβασιν ὀκνήσει ἐχρῶντο καὶ οἱ ἀμφὶ τὸν Ἰωάννην
crossing hesitation used and the(-men) about — John

τὰς Ναρσοῦ ἐντολὰς ἔμενον, ἐν τούτῳ χρόνου δαπανᾶσθαι
the of-Narses orders awaited in this of-time to-be-spent
πολύ τι χρῆμα τῇ πολιορκίᾳ τετύχηκεν.
great some quantity in-the siege it-befell
οἱ δὲ πολιορκούμενοι ἤδη ἐς ἄγαν τῷ λιμῷ πιεζόμενοι 21.26
the and besieged already to excess by-the famine pressed
καὶ τοῦ κακοῦ ὑπερβιαζομένου κυνῶν τε καὶ μυῶν οἱ
and the evil overpowering of-dogs both and of-mice the
πλεῖστοι ἐγεύσαντο καὶ ζῴων ἄλλων ὅσα ἐς βρῶσιν
most tasted and of-animals other as-many-as to (the)-food
ἀνθρώπου οὔποτε ἦλθον.
of-man never came
οἱ μὲν οὖν βάρβαροι πρέσβεις παρὰ Μουνδίλαν πέμψαντες 21.27
the indeed then barbarians envoys to Mundilas having-sent
ἐνδοῦναι σφίσι τὴν πόλιν ἐκέλευον, ἐφ' ᾧ ἀπαθεῖς αὐτός
to-give-up to-them the city bade on which unharmed he-himself
τε καὶ οἱ στρατιῶται κακῶν μείνωσιν.
both and the soldiers of-evils should-remain
ὁ δὲ ταῦτα ὡμολόγησε πράξειν, ἢν ἐκεῖνοι ὑπέρ τε 21.28
he and these(-things) agreed to-do if they for both
αὐτῶν τὰ πιστὰ δώσουσι καὶ ὡς οὐδὲν ἄχαρι ἐς τῶν
them the pledges they-will-give and that nothing unpleasant to of-the
οἰκητόρων τινὰ δράσουσιν.
inhabitants any they-will-do
ὡς δὲ οἱ πολέμιοι Μουνδίλᾳ τε καὶ τοῖς στρατιώταις 21.29
when and the enemies to-Mundilas both and to-the soldiers
τὰ πιστὰ ἔδοσαν, θυμῷ τε πολλῷ ἐς Λιγούρους
the pledges gave with-rage both much toward Ligurians
ἐχόμενοι ἅπαντας ἀπολοῦντες ἔνδηλοι ἦσαν, συγκαλέσας
held all going-to-destroy evident were having-called-together
Μουνδίλας τοὺς στρατιώτας ἅπαντας ἔλεξε τοιάδε
Mundilas the soldiers all said such(-things)

21.30 “Εἴ τινες καὶ ἄλλοι πώποτε, παρὸν αἰσχρῶς βιῶναι,
if any also others ever it-being-possible shamefully to-live
οἱ δὲ μᾶλλον εὐκλεῶς ἀποθανεῖν εἵλοντο σωτηρίας
they and rather gloriously to-die chose than-safety
τῆς παραυτίκα τὴν εὐπρεπῆ τοῦ βίου καταστροφὴν
the momentary the seemly of-the life end
ἀλλαξάμενοι, τοιούτους δή τινας ἐν τῷ παρόντι βουλοίμην
having-exchanged such indeed some in the present I-would-wish
ἂν καὶ ὑμᾶς εἶναι καὶ μὴ τῷ φιλοψύχῳ τὸν μετὰ τῆς
— also you to-be and not by-the love-of-life the with the
αἰσχύνης βίον διώκειν, καὶ ταῦτα ἄπο τῆς Βελισαρίου
shame life to-pursue and this contrary-to the of-Belisarius
διδασκαλίας, ἧς ἐκ παλαιοῦ μετασχοῦσιν ὑμῖν μὴ οὐχὶ
teaching of-which from of-old having-shared you not not
γενναίοις τε καὶ λίαν εὐτόλμοις εἶναι οὐχ ὅσιον.
noble both and very daring to-be not holy

21.31 τοῖς μὲν γὰρ εἰς φῶς ἥκουσι μία τις ἅπασι προέρχεται
for-the indeed for into light coming one some for-all comes-forward
τύχη, τοῖς καθήκουσι τεθνήξεσθαι χρόνοις· τρόπῳ δὲ τῆς
fortune at-the proper to-be-dead times in-way and of-the
τελευτῆς ἄνθρωποι ἀλλήλων ὡς τὰ πολλὰ διαλλάσσουσι.
end men from-each-other as the most(-part) differ

21.32 διαφέρει δέ, ὅτι ἄνανδροι μέν, ὡς τὸ εἰκός, ἅπαντες ὕβριν
it-differs and in-that cowards indeed as the likely all insult
τε καὶ γέλωτα ὀφείλοντες τοῖς ἐχθροῖς πρότερον, εἶτα
both and laughter owing to-the enemies first then
τοῖς ἄνωθεν διωρισμένοις καιροῖς οὐδὲν ἧσσον ἀναπιμπλᾶσι
at-the from-above appointed times nothing less fulfill
τὴν πεπρωμένην, γενναίοις δὲ ἀνδράσι ξύν τε τῇ ἀρετῇ
the destined(-end) for-noble and men with both the valor
καὶ δόξης ἀγαθῆς περιουσίᾳ τοῦτο ξυμβαίνει πάσχειν.
and of-reputation good by-abundance this befalls to-suffer

ἄνευ δὲ τούτων εἰ μὲν ἀνθρώπους τούσδε ξυνδιασώζουσιν 21.33
without and these if indeed men these preserving-with
ἡμῖν δουλεύειν τοῖς βαρβάροις παρῆν, ἔφερεν ἂν τοῦτο
for-us to-be-slaves to-the barbarians it-were-possible would-bring — this
γοῦν τινα τῆς αἰσχρᾶς ταύτης ἡμῖν σωτηρίας συγγνώμην.
at-any-rate some of-the shameful this for-us safety pardon
ἢν δέ γε Ῥωμαίους τοσούτους τὸ πλῆθος ἐπιδεῖν 21.34
if and at-least Romans so-many the number to-look-on
ἀνάγκη ταῖς τῶν πολεμίων διαφθειρομένους χερσίν,
(it-be)-necessity by-the of-the enemies being-destroyed hands
ὅτου τις ἂν εἴποι τοῦτο θανάτου πικρότερον ἔσται.
than-what anyone — could-say this death more-bitter will-be
οὐ γὰρ ἄλλο οὐδὲν ἢ τοῖς βαρβάροις ξυγκατεργάζεσθαι 21.35
not for other nothing than with-the barbarians to-help-accomplish
τὸ δεινὸν δόξαιμεν. ἕως οὖν ἔτι ἐσμὲν ἡμῶν αὐτῶν
the terrible(-thing) we-should-seem while then still we-are of-us selves
κύριοι ἀρετῇ τὴν ἀνάγκην κοσμήσασθαι, εὔδοξον τὴν
masters by-valor the necessity to-adorn glorious the
προσπεσοῦσαν θώμεθα τύχην.
having-befallen let-us-make fortune
φημὶ δὲ χρῆναι ὡς ἄριστα ἐξοπλισαμένους ἡμᾶς ἅπαντας 21.36
I-say and to-be-needful as best having-armed us all
ἐπὶ τοὺς πολεμίους οὐ προσδεχομένους χωρεῖν.
against the enemies not expecting(-it) to-go
δυοῖν γὰρ ἡμῖν περιέσται θάτερον· ἢ τὴν τύχην 21.37
of-two for for-us will-come-round the-one either the fortune
ἐφ᾽ ἡμῖν εἰργάσθαι τι κρεῖσσον ἐλπίδος ἢ τελευτῆς
in us to-have-done something better than-hope or of-(an)-end
τετυχηκότας εὐδαίμονος εὐκλεῶς μάλιστα τῶν παρόντων
having-obtained happy gloriously most from-the present
ἀπηλλάχθαι κακῶν.”
to-have-been-freed evils

21.38 Μουνδίλας μὲν τοσαῦτα εἶπε, τῶν δὲ στρατιωτῶν ὑποστῆναι
Mundilas indeed so-much said of-the and soldiers to-undergo
τὸν κίνδυνον οὐδεὶς ἤθελεν, ἀλλ᾽ ἐφ᾽ οἷς παρεκάλουν οἱ
the danger no-one wished but on what invited the
πολέμιοι σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ἐνέδοσαν.
enemies them both selves and the city they-surrendered
21.39 καὶ αὐτοὺς μὲν οἱ βάρβαροι οὐδὲν ἄχαρι ἐργασάμενοι
and them indeed the barbarians nothing unpleasant having-done
ἐν φυλακῇ ξὺν Μουνδίλᾳ εἶχον, τὴν δὲ πόλιν ἐς ἔδαφος
in custody with Mundilas held the and city to (the)-ground
καθεῖλον, ἄνδρας μὲν κτείναντες ἡβηδὸν ἅπαντας οὐχ
razed men indeed having-killed from-youth-up all not
ἧσσον ἢ μυριάδας τριάκοντα, γυναῖκας δὲ ἐν ἀνδραπόδων
less than myriads thirty women and in of-slaves
ποιησάμενοι λόγῳ, αἷς δὴ Βουργουζίωνας δεδώρηνται
having-made status with-whom indeed Burgundians they-have-presented
χάριν αὐτοῖς τῆς ξυμμαχίας ἐκτίνοντες.
thanks to-them for-the alliance paying
21.40 Ῥεπάρατον δὲ εὑρόντες τὸν τῆς αὐλῆς ἔπαρχον, ἔκοψάν
Reparatus and having-found the of-the court prefect they-cut-up
τε κατὰ βραχὺ καὶ αὐτοῦ τὰ κρέα τοῖς κυσὶν ἔρριψαν.
both by little and his the flesh to-the dogs threw
21.41 Βηργεντῖνος δὲ (καὶ γὰρ ἐντὸς ὢν Μεδιολάνου ἔτυχε) διά
Vergentinus and also for within being Mediolanum he-happened through
τε Βενετίων καὶ τῶν ταύτῃ ἐθνῶν ξὺν τοῖς ἑπομένοις ἐς
both Veneti and the there nations with the(-men) following to
Δαλματίαν κομίζεται. καὶ παρὰ βασιλέα ἐνθένδε ἦλθε, πάθος
Dalmatia is-conveyed and to (the)-emperor from-there came suffering
ἀγγέλλων μέγα τοῦτο, ὃ Ῥωμαίοις ξυνέπεσε γενέσθαι.
reporting great this which to-Romans befell to-happen

καὶ ἀπ᾽ αὐτοῦ οἱ Γότθοι πόλεις τε τὰς ἄλλας ὁμολογίᾳ 21.42
and from this the Goths cities both the others by-agreement
εἷλον, αἳ Ῥωμαίων ἔτυχον φρουρὰς ἔχουσαι, καὶ
took which of-Romans happened garrisons having and
Λιγουρίας αὖθις ὅλης ἐκράτησαν· Μαρτῖνος δὲ καὶ
of-Liguria again whole they-were-masters Martinus and and
Οὐλίαρις ξὺν τῷ στρατῷ ἐπὶ Ῥώμης ἀνέστρεφον.
Uliaris with the army toward Rome turned-back
Ταῦτα μὲν δὴ ὧδέ πη ἔσχε. Βελισάριος δὲ οὔπω τι 22.1
these(-things) indeed indeed thus somehow stood Belisarius and not-yet anything
πεπυσμένος τῶν ἐν Λιγουρίᾳ ξυμπεπτωκότων, ἐπειδὴ ὁ
having-learned of-the(-things) in Liguria having-befallen when the
χειμὼν ἐτελεύτα ἤδη, τῷ παντὶ στρατῷ ἐς Πικηνὸν ᾔει.
winter was-ending already with-the whole army to Picenum went
τά τε ἀμφὶ Μεδιολάνῳ τετυχηκότα ἐν ταύτῃ δὴ 22.2
the(-things) both about Mediolanum having-happened on this indeed
τῇ πορείᾳ μαθὼν ἐν μεγάλῳ ἐποιήσατο πένθει.
the march having-learned in great held mourning
καὶ Οὐλίαριν μὲν ἐς ὄψιν οἱ ἐλθεῖν οὐκέτι τὸ λοιπὸν 22.3
and Uliaris indeed into sight to-him to-come no-longer the rest
εἴασεν, ἅπαντα δὲ τὰ ξυμπεσόντα βασιλεῖ ἔγραψε.
he-allowed all and the(-things) having-befallen to-(the)-emperor wrote
βασιλεὺς δὲ τούτων μὲν ἕνεκα δεινόν τι εἰργάσατο 22.4
(the)-emperor and for-these indeed reason terrible anything did
οὐδένα, τὴν δὲ Βελισαρίου τε καὶ Ναρσοῦ διαφορὰν
to-no-one the and of-Belisarius both and of-Narses quarrel
ἀκούσας, Ναρσῆν τε αὐτίκα μεταπεμψάμενος αὐτοκράτορα
having-heard Narses both at-once having-sent-for with-full-powers
παντὸς τοῦ πολέμου Βελισάριον κατεστήσατο.
of-all the war Belisarius established

22.5 ὧδε μὲν ἐς Βυζάντιον Ναρσῆς ἐπανῆκε, τῶν στρατιωτῶν
thus indeed to Byzantium Narses returned of-the soldiers
ὀλίγους τινὰς ἄγων. Ἔρουλοι δὲ μένειν ἐν Ἰταλίᾳ Ναρσοῦ
few some bringing Eruli and to-remain in Italy Narses
ἐνθένδε ἀναχωροῦντος οὐκέτι ἠξίουν, καίτοι Βελισαρίου
from-there withdrawing no-longer thought-fit although Belisarius
πολλὰ ὑποσχομένου σφίσι πρός τε αὐτοῦ καὶ βασιλέως
much having-promised them from both himself and (the)-emperor
ἀγαθὰ μένουσιν ἔσεσθαι, ἀλλὰ συσκευασάμενοι ἅπαντες
good(-things) staying to-be but having-packed-up all
τὰ μὲν πρῶτα ἐπὶ Λιγουρίας ἀπεχώρησαν.
the indeed first(-time) toward Liguria withdrew

22.6 οὗ δὴ ἐντυχόντες τῷ Οὐραΐα στρατῷ, ἀνδράποδά τε
where indeed having-met the of-Uraias army slaves both
καὶ ἄλλα ζῷα ὅσα ἐπῆγον τοῖς πολεμίοις ἀπέδοντο,
and other animals as-many-as they-brought to-the enemies sold
καὶ χρήματα πολλὰ κεκομισμένοι ἀπώμοσαν, μήποτε
and money much having-received swore never
Γότθοις ἀντιτάξεσθαι ἢ εἰς χεῖρας ἰέναι.
Goths to-oppose or to hands to-go

22.7 οὕτω τε εἰρηναίαν τὴν ἀναχώρησιν ποιησάμενοι ἐς
thus both peaceful the withdrawal having-made to
τὰ ἐπὶ Βενετίας χωρία ἦλθον. ἐνταῦθα αὐτοῖς Βιταλίῳ
the in Venetia places they-came there to-them with-Vitalius
ξυγγενομένοις τῶν ἐς βασιλέα Ἰουστινιανὸν
having-met of-the(-things) against (the)-emperor Justinian
ἡμαρτημένων μετέμελεν.
committed it-repented

22.8 ἀφοσιούμενοί τε τὸ ἔγκλημα Οὐίσανδον μὲν τῶν ἀρχόντων
expiating both the charge Visandus indeed of-the commanders
ἕνα ξὺν τοῖς ἑπομένοις αὐτοῦ εἴασαν, οἱ δὲ λοιποὶ ἐς
one with the(-men) following there they-left the and rest to

Βυζάντιον ἀπεκομίσθησαν ἅπαντες, Ἀλουίθ τε ἡγουμένου
Byzantium were-conveyed all Aluith both leading
σφίσι καὶ Φιλιμούθ, ὅσπερ Φανιθέου τετελευτηκότος ἐν
them and Philemuth who-very Phanitheus having-died in
Καισήνῃ τὴν ἀρχὴν ἔσχεν.
Caesena the command had
Οὐίττιγις δὲ καὶ οἱ ξὺν αὐτῷ Γότθοι Βελισάριον ἅμα 22.9
Vittigis and and the with him Goths Belisarius at-the-same-time
ἦρι ἀρχομένῳ ἐπὶ σφᾶς τε καὶ Ῥάβενναν ἥξειν
with-spring beginning against them both and Ravenna to-come
ἀκούοντες ἐν δείματι μεγάλῳ καθίσταντο καὶ τὰ παρόντα
hearing into fear great were-thrown and the present(-things)
σφίσιν ἐν βουλῇ ἐποιοῦντο, καὶ αὐτοῖς πολλὰ βουλευσαμένοις
for-them in counsel they-made and to-them much having-deliberated
(οὐ γὰρ ἀξιόμαχοι τοῖς πολεμίοις κατὰ μόνας ᾤοντο
not for (a)-match for-the enemies by themselves they-thought
εἶναι) ἔδοξεν ἄλλων τινῶν βαρβάρων ἐπικουρίαν ἐπάγεσθαι.
to-be it-seemed of-other some barbarians (the)-help to-bring-in
Γερμανῶν μὲν οὖν τοῦ τε δολεροῦ καὶ ἀπίστου ἤδη 22.10
of-Germans indeed then the both deceit and faithlessness already
ἐν πείρᾳ γεγενημένοι ἀπέσχοντο, ἀγαπῶντες, ἢν μὴ καὶ
in trial having-been they-kept-away being-content if not also
αὐτοὶ ξὺν Βελισαρίῳ ἐπὶ σφᾶς ἴωσιν, ἀλλ' ἀμφοτέροις
they-themselves with Belisarius against them should-go but for-both
ἐκποδὼν στήσωνται.
out-of-the-way should-stand
ἐς δὲ Λαγγοβαρδῶν τὸν ἄρχοντα Οὐάκην πρέσβεις 22.11
to and of-Langobards the ruler Vaces envoys
ἔπεμψαν, χρήματά τε μεγάλα προτεινόμενοι καὶ ἐς τὴν
they-sent money both great offering and to the
ὁμαιχμίαν παρακαλοῦντες.
alliance-in-arms inviting(-him)

22.12 οἳ δή, ἐπεὶ βασιλεῖ φίλον τε καὶ ξύμμαχον τὸν
who indeed since with-(the)-emperor friend both and ally —
Οὐάκην ἔγνωσαν εἶναι, ἄπρακτοι ἀνεχώρησαν.
Vaces they-learned to-be unsuccessful withdrew

22.13 Οὐίττιγις τοίνυν τοῖς παροῦσιν, ὡς τὸ εἰκός, ἀπορούμενος
Vittigis therefore by-the present(-things) as the likely being-at-a-loss
τῶν πρεσβυτέρων ἀεὶ ξυνεκάλει πολλούς. παρ᾽ ὧν δὴ
of-the elders always called-together many from whom indeed
συχνὰ ἐπυνθάνετο ὅ τί ποτέ οἱ βουλευομένῳ τε καὶ
repeatedly he-inquired what — ever for-him planning both and
πράσσοντι ἄμεινον τὰ πράγματα ἕξει.
doing better the affairs will-be

22.14 γνῶμαι οὖν πολλαὶ πρὸς τῶν ἐς τὴν βουλὴν ξυνιόντων
opinions then many by the(-men) to the council coming-together
ἐλέγοντο, αἱ μὲν ἐπιτηδείως τοῖς παροῦσιν οὐδαμῇ
were-spoken the(-ones) indeed suitably to-the present(-things) in-no-way
ἔχουσαι, αἱ δέ τι καὶ λόγου ἄξιον φέρουσαι.
being the(-ones) and something also of-account worthy bearing

22.15 ἐν αἷς καὶ τόδε ἐς τὸν λόγον ἦλθεν, ὡς οὐ πρότερόν
among which also this into the discussion came that not before
ποτε Ῥωμαίων βασιλεὺς τοῖς ἐν τῇ ἑσπερίᾳ βαρβάροις
ever of-Romans (an)-emperor with-the in the west barbarians
πολεμεῖν ἴσχυσε, πλήν γε δὴ ὅτε αἱ σπονδαὶ ἐς
to-war was-able except at-least indeed when the treaties with
Πέρσας γεγένηνται.
Persians have-been-made

22.16 τούς τε γὰρ Βανδίλους καὶ Μαυρουσίους τηνικαῦτα
the both for Vandals and Moors at-that-time
ἀπολωλέναι καὶ Γότθοις τὰ παρόντα ξυμπεπτωκέναι.
to-have-perished and to-Goths the present(-things) to-have-befallen
ὥστε, ἤν τις καὶ νῦν Ἰουστινιανῷ αὐτοκράτορι τὸν
so-that if anyone also now with-Justinian autocrat the

Μήδων βασιλέα ξυγκρούῃ, οὐ μήποτε Ῥωμαῖοι, τούτου
of-Medes king should-set-at-variance not ever Romans this
δὴ ἐκπεπολεμωμένου σφίσι τοῦ ἔθνους, πόλεμον ἄλλον
indeed having-been-made-hostile to-them the nation war other
διενεγκεῖν πρὸς οὐδένας ἀνθρώπων τὸ λοιπὸν ἔξουσι.
to-carry-on against no men the rest will-be-able
ταῦτα Οὐιττίγιδί τε αὐτῷ ἤρεσε καὶ Γότθοις τοῖς ἄλλοις. 22.17
these(-things) to-Vittigis both himself pleased and to-Goths the others
ἔδοξεν οὖν πρέσβεις παρὰ τὸν Μήδων βασιλέα Χοσρόην
it-seemed then envoys to the of-Medes king Chosroes
στέλλεσθαι, οὐ Γότθους μέντοι, ὅπως μὴ κατάδηλοι αὐτόθεν
to-be-sent not Goths however so-that not evident at-once
γινόμενοι ξυγχέωσι τὰ πρασσόμενα, ἀλλὰ Ῥωμαίους,
becoming they-should-confound the(-things) being-done but Romans
οἵπερ αὐτὸν Ἰουστινιανῷ βασιλεῖ πολέμιον καταστήσουσι.
who-very him to-Justinian emperor hostile will-make
διὸ δὴ τῶν ἐν Λιγούροις ἱερέων δύο χρήμασι 22.18
wherefore indeed of-the among Ligurians priests two with-money
πολλοῖς ἐς ταύτην ἀναπείθουσι τὴν ὑπουργίαν.
much to this they-persuade the service
ὧν ἄτερος μέν, ὅσπερ ἀξιώτερος ἔδοξεν εἶναι, ἐπισκόπου 22.19
of-whom the-one indeed who-very more-worthy seemed to-be of-(a)-bishop
δόκησίν τε καὶ ὄνομα περιβεβλημένος, οὐδὲν αὐτῷ
(the)-appearance both and name having-put-on nothing to-him
προσῆκον, ἐς τὴν πρεσβείαν καθίστατο, ὁ δὲ ἕτερος
belonging to the embassy was-appointed the and other
αὐτῷ ὑπηρετῶν εἵπετο.
him serving followed
γράμματά τε αὐτοῖς ἐγχειρίσας πρὸς Χοσρόην γεγραμμένα 22.20
letters both to-them having-handed to Chosroes written
Οὐίττιγις ἔπεμψεν. οἷς δὴ Χοσρόης ἠγμένος ἀνήκεστα
Vittigis sent by-which indeed Chosroes led irreparable

ἐν σπονδαῖς ἔργα Ῥωμαίους εἰργάσατο, ὥσπερ μοι ἐν
in (the)-treaties deeds Romans did as by-me in
τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.
the previous accounts was-said

22.21 ταῦτα δὲ ἐπεὶ Ἰουστινιανὸς βασιλεὺς Χοσρόην τε
these(-things) and when Justinian emperor Chosroes both
καὶ Πέρσας βουλεύεσθαι ἤκουσε, καταλύειν μὲν τὸν ἐν
and Persians to-be-planning heard to-end indeed the in
τῇ ἑσπερίᾳ πόλεμον ὡς τάχιστα ἔγνω, Βελισάριον δὲ
the west war as quickest he-decided Belisarius and
μεταπέμψασθαι ἐφ' ᾧ ἐπὶ Πέρσας στρατεύσειε.
to-recall on which against Persians he-should-campaign

22.22 τοὺς μὲν οὖν Οὐιττίγιδος πρέσβεις (ἔτι γὰρ ὄντες ἐν
the indeed then of-Vittigis envoys still for being in
Βυζαντίῳ ἐτύγχανον) αὐτίκα δὴ ἀπεπέμψατο, ἄνδρας
Byzantium they-happened at-once indeed he-sent-away men
παρ' αὐτοῦ ἐπὶ Ῥαβέννης σταλήσεσθαι ὑποσχόμενος, οἵπερ
from him to Ravenna going-to-be-sent having-promised who-very
ἐς Γότθους τὰς σπονδὰς θήσονται ὅπη ἂν ἑκατέροις
with Goths the treaty will-make wherever — for-each-of-the-two
ξυνοίσειν μέλλῃ.
be-of-advantage is-likely

22.23 τούτους δὲ τοὺς πρέσβεις οὐ πρότερον μεθῆκε Βελισάριος
these and the envoys not sooner released Belisarius
τοῖς πολεμίοις ἕως καὶ αὐτοὶ τοὺς ἀμφὶ Ἀθανάσιόν
to-the enemies until also they-themselves the(-men) about Athanasius
τε καὶ Πέτρον ἀφῆκαν.
both and Peter released

22.24 οὓς δὴ ἐς Βυζάντιον ἀφικομένους γερῶν βασιλεὺς
whom indeed to Byzantium having-arrived with-honors (the)-emperor
τῶν μεγίστων ἠξίωσεν, Ἀθανάσιον μὲν ὕπαρχον τῶν
the greatest deemed-worthy Athanasius indeed prefect of-the

ἐν Ἰταλίᾳ πραιτωρίων καταστησάμενος, Πέτρῳ δὲ τὴν
in Italy praetoria having-appointed to-Peter and the
τοῦ μαγίστρου καλουμένου ἀρχὴν παρασχόμενος.
of-the magister called office having-given
καὶ ὁ χειμὼν ἔληγε καὶ τέταρτον ἔτος ἐτελεύτα τῷ 22.25
and the winter was-ending and (the)-fourth year ended for-the
πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψε.
war this which Procopius wrote

XXII · AUXIMUS AND FISULA

Belisarius besieges Auximus, Cyprian and Justinus Fisula, and Martinus and John guard the Po. The Goths sally for grass, and Procopius advises sounding the cavalry trumpet for attack and the infantry's for retreat. A Moor stripping a corpse is pinned by a javelin and carried off alive. Both garrisons appeal to Vittigis, who waits; Uraias crosses the Po to face the Romans.

Βελισάριος δὲ Αὔξιμόν τε καὶ Φισούλαν ἐξελεῖν πρότερον 23.1
Belisarius and Auximus both and Fisula to-take first
ἤθελε, οὕτω τε ἐπί τε Οὐίττιγιν καὶ Ῥάβενναν ἰέναι,
wished thus both against both Vittigis and Ravenna to-go
οὐδενὸς ἔτι τῶν πολεμίων οὔτε σφίσιν ἐμποδὼν
none any-longer of-the enemies either them in-the-way
ἵστασθαι δυναμένου, οὔτε τὰ ὄπισθε κακουργεῖν ἔχοντος.
to-stand being-able or the(-parts) behind to-harm being-able
Κυπριανὸν μὲν οὖν καὶ Ἰουστῖνον ξὺν τοῖς ἑπομένοις 23.2
Cyprian indeed then and Justinus with the(-men) following
καὶ Ἰσαύρων τισὶν ἐς Φισούλαν ἔπεμψε, καὶ πεντακοσίους
and of-Isaurians some to Fisula he-sent and five-hundred
πεζοὺς ἐκ καταλόγου, οὓς Δημήτριος ἦρχεν, οἳ δὴ τοὺς

ἐκείνῃ βαρβάρους ἀμφὶ τὸ φρούριον στρατοπεδευσάμενοι
there barbarians about the fortress having-encamped
ἐπολιόρκουν.
besieged

23.3 Μαρτῖνον δὲ καὶ Ἰωάννην ξὺν τοῖς ἑπομένοις καὶ
Martinus and and John with the(-men) following and
στρατεύματι ἄλλῳ, οὗπερ Ἰωάννης ἡγεῖτο ὃν καὶ Φαγᾶν
army another which-very John led whom also Phagas
ἐκάλουν, ἀμφὶ Πάδον ποταμὸν ἔστελλεν.
they-called about (the)-Po river he-sent

23.4 οὓς δὴ φροντίδα ἔχειν ἐκέλευεν ὅπως μὴ Οὐραΐας τε καὶ
whom indeed care to-have he-bade that not Uraias both and
οἱ ξὺν αὐτῷ ἐκ Μεδιολάνου ἐπὶ σφᾶς ἴωσιν, ἢν δὲ τῶν
the(-men) with him from Mediolanum against them should-go if and of-the
πολεμίων τὴν ἔφοδον ἀποκρούεσθαι οὐχ οἷοί τε ὦσιν,
enemies the attack to-repel not able — they-should-be
ὄπισθεν αὐτοὺς λάθρα ἐπισπομένους κατὰ νώτου ἰέναι.
from-behind them secretly following at back to-go

23.5 καὶ οἱ μὲν πόλιν Δορθῶνα πρὸς τῷ ποταμῷ ἀτείχιστον
and they indeed (the)-city Dertona at the river unwalled
οὖσαν καταλαβόντες, αὐτοῦ τε ἐνστρατοπεδευσάμενοι
being having-seized there both having-encamped
ἔμενον, αὐτὸς δὲ ἐς Αὔξιμον πόλιν χιλίους τε καὶ
stayed he-himself and to Auximus city thousand both and
μυρίους ἔχων ἀφίκετο.
ten-thousand having arrived

23.6 Αὔξιμος δὲ αὕτη πρώτη μὲν τῶν ἐν Πικηνοῖς πόλεών
Auximus and this first indeed of-the in Picenes cities
ἐστιν, ἣν δὴ μητρόπολιν καλεῖν νενομίκασι Ῥωμαῖοι.
is which indeed metropolis to-call are-accustomed Romans
ἀπέχει δὲ ἀκτῆς μὲν κόλπου τοῦ Ἰονίου σταδίους
it-is-distant and from-(the)-shore indeed of-(the)-gulf the Ionian stades

τέσσαράς τε καὶ ὀγδοήκοντα μάλιστα, Ῥαβέννης δὲ
four both and eighty about of-Ravenna and
πόλεως ὁδὸν τριῶν ἡμερῶν καὶ σταδίους ὀγδοήκοντα.
city (a)-journey of-three days and stades eighty
κεῖται δὲ ἐπὶ λόφου τινὸς ὑψηλοῦ, εἴσοδον ἐν τῷ ὁμαλεῖ 23.7
lies and on hill some high entrance on the level
οὐδαμῇ ἔχουσα, καὶ ἀπ᾽ αὐτοῦ ἀπρόσοδος τοῖς πολεμίοις
in-no-way having and from this inaccessible to-the enemies
παντάπασιν οὖσα.
altogether being
ἐνταῦθα Γότθων εἴ τι δόκιμον ἦν, Οὐίττιγις ἐς τὴν 23.8
there of-Goths if anything approved was Vittigis into the
φρουρὰν κατεστήσατο, τεκμαιρόμενος ὅτι Ῥωμαῖοι, εἰ
garrison established judging that Romans if
μὴ ταύτην ἐξέλωσι πρότερον, ἐπὶ Ῥάβενναν οὔποτε
not this they-should-take first against Ravenna never
στρατεύειν τολμήσωσιν.
to-campaign would-dare
ἐπειδὴ δὲ ὁ Ῥωμαίων στρατὸς ἐς Αὔξιμον ἦλθεν, 23.9
when and the of-Romans army to Auximus came
ἐκέλευε Βελισάριος παρὰ τοῦ λόφου τὰ ἔσχατα πάντας
bade Belisarius beside the hill the extremities all
στρατοπεδεύεσθαι κύκλῳ.
to-encamp in-a-circle
καὶ οἱ μὲν κατὰ συμμορίας γενόμενοι καλύβας ἄλλος 23.10
and they indeed by companies having-got huts one
ἄλλῃ τοῦ χωρίου ἐπήγνυντο, κατιδόντες δὲ αὐτοὺς οἱ
elsewhere of-the place fixed having-seen and them the
Γότθοι μακράν που ἀπολελειμμένους ἀλλήλων καὶ
Goths far somewhere separated from-each-other and
σφίσιν αὐτοῖς ἐπιβοηθεῖν ἅτε ἐν μεγάλῳ πεδίῳ οὐκ
to-them selves to-help as in great plain not

εὐπετῶς ἔχοντας, ἐκ τοῦ αἰφνιδίου ἀμφὶ δείλην ὀψίαν
easily being from the sudden about evening late
χωροῦσιν ἐπὶ τοὺς πολεμίους, ἐς τὰ πρὸς ἕω τῆς
go against the enemies to the(-parts) toward east of-the
πόλεως, ᾗ Βελισάριος στρατόπεδον ἔτι ποιούμενος ξύν
city where Belisarius (a)-camp still making with
τε δορυφόροις καὶ ὑπασπισταῖς τοῖς αὐτοῦ ἔτυχεν.
both guards and shield-bearers the his happened(-to-be)

23.11 οἱ δὲ ἀράμενοι τὰ ὅπλα ἐκ τῶν παρόντων τοὺς
they and having-taken-up the arms from the(-things) at-hand the(-men)
ἐπιόντας ἠμύνοντο, ῥᾷστά τε αὐτοὺς ἀρετῇ ὠσάμενοι
attacking warded-off most-easily both them by-valor having-thrust
ἔτρεψαν, καὶ φεύγουσιν ἐπισπόμενοι κατὰ μέσον τοῦ
routed(-them) and (them)-fleeing following at middle of-the
λόφου ἐγίνοντο.
hill got

23.12 ἔνθα οἱ βάρβαροι ἐπιστραφέντες καὶ χωρίου ἰσχύϊ
there the barbarians having-turned and of-(the)-place in-(the)-strength
πιστεύοντες ἀντίοι τοῖς διώκουσιν ἔστησαν, συχνούς τε
trusting facing the(-ones) pursuing stood many both
αὐτῶν ἅτε κατὰ κορυφὴν βάλλοντες ἔκτειναν, ἕως νὺξ
of-them as from above shooting killed until night
ἐπιλαβοῦσα ἐκώλυσεν. οὕτω τε διαλυθέντες ἑκάτεροι τὴν
having-come-on prevented(-it) thus both having-separated each the
νύκτα ἐκείνην ηὐλίσαντο.
night that bivouacked

23.13 ἔτυχον δὲ τῇ προτεραίᾳ τοῦ ἔργου τούτου Γότθων τινὲς
happened and on-the day-before of-the action this of-Goths some
ὄρθρου βαθέος τροφῶν ξυγκομιδῆς ἕνεκα ἐς τὰ ἐκείνῃ
at-dawn deep of-provisions gathering for-the-sake to the there
σταλέντες χωρία.
sent places

οἳ δὴ οὐδὲν ἀμφὶ τῶν πολεμίων τῇ παρουσίᾳ πυθόμενοι 23.14
who indeed nothing about of-the enemies the arrival having-learned
ἐς νύκτα ἐπανῆκον. ἄφνω τε τὰ Ῥωμαίων πυρὰ
at night returned suddenly both the of-Romans fires
κατιδόντες ἐν θαύματί τε καὶ δέει μεγάλῳ ἐγένοντο.
having-seen in wonder both and fear great were
καὶ αὐτῶν πολλοὶ μὲν τὸν κίνδυνον ὑποστῆναι τολμήσαντες 23.15
and of-them many indeed the danger to-undergo having-dared
καὶ λαθόντες τοὺς πολεμίους ἐς Αὔξιμον ἐσῆλθον.
and having-escaped-the-notice-of the enemies into Auximus entered
ὅσοι δὲ κατορρωδήσαντες ἐν τῷ παραυτίκα ἐς ὕλας
as-many-as and having-dreaded in the moment in woods
τινὰς σφᾶς αὐτοὺς ἔκρυψαν, ἐφ᾽ ᾧ ἐπὶ Ῥαβέννης
some them selves hid on which to Ravenna
χωρήσουσιν, οὗτοι δὴ οὐ πολλῷ ὕστερον ὑπὸ τοῖς
they-will-go these indeed not much later under the
ἐναντίοις γενόμενοι διεφθάρησαν.
opponents having-got were-destroyed
Βελισάριος δὲ κατιδὼν τὴν Αὔξιμον ἰσχυροτάτην ἐν 23.16
Belisarius and having-seen — Auximus most-strong in
τῷ ἀσφαλεῖ οὖσαν, παντελῶς τέ οἱ ἀμήχανα εἶναι
the safety being altogether both for-him impossible to-be
προσβολὴν τῷ περιβόλῳ ποιήσασθαι, βίᾳ μὲν τὸ
(an)-assault on-the circuit-wall to-make by-force indeed the
χωρίον ἑλεῖν οὐκ ἄν ποτε ᾤετο, πολιορκίᾳ δὲ ἀκριβεῖ ἔς
place to-take not — ever thought by-siege and strict into
τε ἀπορίαν τῶν ἀναγκαίων καταστήσεσθαι τοὺς πολεμίους
both want of-the necessities to-reduce the enemies
ἐλπίδα εἶχε καὶ τῷ χρόνῳ ὑποχειρίους ποιήσασθαι.
hope had and in-the time subject to-make

23.17 τοῦ δὲ περιβόλου οὐ μακρὰν ἄποθεν πόαν τινὰ πολλὴν
of-the and circuit-wall not far away grass some much
ἡ γῆ ἀνιεῖσα ξυμβολῆς ἀφορμὴν ἐς ἡμέραν ἑκάστην
the earth sending-up of-engagement (an)-occasion for day each
Ῥωμαίοις τε καὶ Γότθοις ἔφερε.
to-Romans both and to-Goths brought

23.18 ταύτην γὰρ ἀποτεμνομένους ἀεὶ τῶν ἵππων ἕνεκα
this for cutting always of-the horses for-the-sake
τοὺς ἐναντίους ὁρῶντες Ῥωμαῖοι ἔν τε τῷ λόφῳ δρόμῳ
the opponents seeing Romans on both the hill at-run
πολλῷ ἀνιόντες ἐγίνοντο καὶ τοῖς πολεμίοις ἐς χεῖρας
great climbing got and with-the enemies to hands
ἰόντες ἔργα τε ἀρετῆς ἄξια ἐνδεικνύμενοι, φέρεσθαι τὴν
going deeds both of-valor worthy displaying to-carry-off the
πόαν οὐδαμῇ εἴων, πολλούς τε ἀεὶ τῶν ἐναντίων ἐν
grass in-no-way they-allowed many both always of-the opponents in
τῷ χώρῳ τούτῳ διέφθειρον.
the place this they-destroyed

23.19 οἱ δὲ βάρβαροι ἀρετῇ τῶν πολεμίων ἡσσώμενοι ἐπενόουν
the and barbarians by-valor of-the enemies being-defeated devised
τάδε. τῶν ἁμαξῶν τοὺς τροχοὺς ξὺν μόνοις τοῖς
these(-things) of-the wagons the wheels with only the
ἄξοσιν ἀφελόμενοι ἐν παρασκευῇ εἶχον, τέμνειν τε τὴν
axles having-taken-off in readiness they-had to-cut both the
πόαν ἀρξάμενοι, ἐπειδὴ ἀνιόντας ἤδη ἐς τοῦ λόφου τὰ
grass having-begun when climbing already to of-the hill the
μέσα τοὺς Ῥωμαίους εἶδον, τοὺς τροχοὺς ἀφῆκαν κατὰ
middle the Romans they-saw the wheels they-let-go from
κορυφὴν ἐπ᾽ αὐτοὺς φέρεσθαι.
above upon them to-be-carried

τύχῃ δέ τινι τούτους ξυνέπεσε τοὺς τροχοὺς ἄχρι ἐς τὸ 23.20
by-chance and some these it-befell the wheels as-far as the
ὁμαλὲς ἀνθρώπου οὐδενὸς ἁψαμένους ἐλθεῖν. ταύτης τε
level of-man no having-touched to-come this both
τῆς πείρας ἀποτυχόντες οἱ βάρβαροι, τότε μὲν φεύγοντες
the attempt having-failed the barbarians then indeed fleeing
ἐντὸς τοῦ περιβόλου ἐγένοντο, ἔπειτα δὲ ἐποίουν τάδε.
within the circuit-wall got then and they-did these(-things)
τὰς φάραγγας, αἳ τοῦ περιβόλου εἰσὶν ἄγχιστα, ἐνέδραις 23.21
the ravines which to-the circuit-wall are nearest with-ambushes
τῶν ἐν σφίσι δοκίμων ἀνδρῶν προλοχίσαντες ὀλίγοι
of-the among them approved men having-set-in-ambush few
τοῖς πολεμίοις ἀμφὶ τὴν πόαν ἐφαίνοντο, ἡνίκα τε ἡ
to-the enemies about the grass appeared when both the
μάχη ἐν χερσὶ γένοιτο, ἐκπηδῶντες ἐκ τῶν ἐνεδρῶν
battle at hands should-be leaping-out from the ambushes
οἱ κρυπτόμενοι, πλήθει τε τοὺς ἐναντίους παρὰ
the(-men) hidden by-number both the opponents by
πολὺ ὑπεραίροντες καὶ αὐτοὺς τῷ μὴ προαισθέσθαι
much exceeding and them by-the not to-have-perceived-beforehand
ἐκπλήσσοντες πλείστους μὲν ἔκτεινον, τοὺς δὲ λοιποὺς
astounding most indeed they-killed the and rest
ἀεὶ ἐς φυγὴν ἔτρεπον.
always into flight turned
Ῥωμαίων δὲ ὅσοι ἐν τοῖς στρατοπέδοις εἱστήκεσαν 23.22
of-Romans and as-many-as in the camps stood
ἔβλεπον μὲν ἐκ τῶν ἐνεδρῶν ὑπεξανισταμένους τοὺς
saw indeed from the ambushes rising-up the
πολεμίους, κραυγῇ δὲ πολλῇ τοὺς ἑταίρους ἀνακαλοῦντες
enemies with-shouting and much the comrades calling-back
οὐδὲν ἤνυον, ἐπεὶ οἱ μαχόμενοι τῆς ἐκείνων βοῆς
nothing accomplished since the(-men) fighting the their shout

ἥκιστα ἤκουον, μήκει τε τοῦ λόφου ἐπὶ πλεῖστον
least heard by-(the)-length both of-the hill for most(-part)
αὐτῶν διειργόμενοι καὶ τῶν βαρβάρων ἀεὶ ἐξεπίτηδες
them being-separated and the barbarians always on-purpose
σφίσιν ἀντιπαταγούντων τοῖς ὅπλοις.
to-them clashing with-the arms

23.23 Βελισαρίῳ δὲ τοῖς παροῦσιν ἀπορουμένῳ Προκόπιος,
to-Belisarius and at-the present(-things) being-at-a-loss Procopius
ὃς τάδε ξυνέγραψε, προσελθὼν εἶπεν "Οἱ ταῖς
who these(-things) wrote having-come-up said the(-men) the
σάλπιγξιν, ὦ στρατηγέ, τὸ παλαιὸν ἐν τῷ Ῥωμαίων
trumpets O general the(-time) of-old in the of-Romans
στρατῷ χρώμενοι νόμους τινὰς ἠπίσταντο δύο, ὧν
army using strains some knew two of-which
ἄτερος μὲν ἐγκελευομένῳ τε ἐπὶ πλεῖστον ἐῴκει καὶ
the-one indeed one-urging-on both for most(-part) was-like and
τοὺς στρατιώτας ἐς μάχην ὁρμῶντι, ὁ δὲ ἄλλος ἐπὶ τὸ
the soldiers into battle rousing the and other to the
στρατόπεδον ἀνεκάλει τοὺς μαχομένους, ἡνίκα ταῦτα
camp called-back the(-men) fighting when these(-things)
ἐδόκει τῷ στρατηγῷ ὡς ἄριστα ἔχειν.
seemed to-the general as best to-be

23.24 ταύτῃ τε ἀεὶ οἱ μὲν στρατηγοὶ τὰ καθήκοντα τοῖς
thus both always the indeed generals the proper(-things) to-the
στρατιώταις ἐκέλευον, ἐκεῖνοι δὲ τὰ παραγγελλόμενα ἔργα
soldiers ordered they and the being-ordered deeds
ἐπιτελεῖν ἴσχυον.
to-accomplish were-able

23.25 κραυγὴ γὰρ ἐν ταῖς ξυμβολαῖς σημῆναί τι σαφὲς
shouting for in the engagements to-signal anything clear
οὐδαμῶς πέφυκε, πατάγου τε, ὡς τὸ εἰκός, πανταχόσε
in-no-way is-by-nature (the)-din both as the likely everywhere

ἀντικτυποῦντος καὶ τοῦ δέους ἐκπλήσσοντος τὰς τῶν
re-echoing and the fear astounding the of-the(-men)
μαχομένων αἰσθήσεις.
fighting senses
ἐπεὶ δὲ τανῦν ἀμαθίᾳ τε ἡ τοιαύτη τέχνη ἐξώλισθε 23.26
since and now through-ignorance both the such art has-slipped-away
καὶ μιᾷ σάλπιγγι ἄμφω δηλῶσαι ἀμήχανον, αὐτὸς οὕτω
and by-one trumpet both to-show (is)-impossible you-yourself thus
τὸ λοιπὸν ποίει.
the rest do
σάλπιγξι μὲν ταῖς ἱππικαῖς ἐγκελεύου τοῖς στρατιώταις 23.27
with-trumpets indeed the cavalry urge the soldiers
διαμάχεσθαι τοῖς πολεμίοις, ταῖς δὲ πεζικαῖς ἐπὶ τὴν
to-fight-it-out with-the enemies with-the and infantry to the
ἀναχώρησιν ἀνακάλει τοὺς ἄνδρας.
withdrawal call-back the men
ἑκατέρου γὰρ αὐτοὺς τοῦ ἤχου μὴ οὐχὶ ξυνεῖναι 23.28
of-each-of-the-two for them the sound not not to-understand
ἀδύνατον, ἐπεὶ ὁ μὲν ἐκ βύρσης τε καὶ ξύλου ὑπεράγαν
(is)-impossible since the(-one) indeed from leather both and wood exceedingly
λεπτοῦ, ὁ δὲ ἐκ παχέος τινὸς χαλκοῦ πρόεισι.”
thin the(-other) and from thick some bronze comes-forth
Προκόπιος μὲν τοσαῦτα εἶπε. Βελισάριος δὲ ἥσθη τε 23.29
Procopius indeed so-much said Belisarius and was-pleased both
τῇ ὑποθήκῃ καὶ ἅπαν ξυγκαλέσας τὸ στράτευμα ἔλεξε
at-the suggestion and all having-called-together the army said
τοιάδε “Προθυμίαν ἐς τόδε ξυμφέρειν τε οἶμαι καὶ
such(-things) eagerness to this to-be-advantageous both I-think and
πολλοῦ ἐπαίνου ἀξίαν εἶναι, μέχρις ἂν μετρία τις οὖσα
much praise worthy to-be as-long-as — moderate some being
οὐδὲν τοῖς ἔχουσι προσποιῆται βλάβος.
nothing to-the(-ones) having(-it) brings-on harm

23.30 τῷ γὰρ ὑπερβάλλοντι τὰ ἀγαθὰ πάντα πρὸς τὸ χεῖρον
by-the for excess the good(-things) all to the worse
ἀεὶ τρέπεσθαι εἴωθεν. ὑμεῖς οὖν μὴ τῷ φιλονείκῳ
always to-be-turned are-wont you then not by-the contentiousness
τὸ λοιπὸν σφάλλεσθε· φεύγειν γὰρ δή που τὸν
the rest be-tripped-up to-flee for indeed somehow the(-one)
κακουργοῦντα οὐδεμία αἰσχύνη.
doing-harm no shame

23.31 ἀλλ᾽ ὁ μὲν ἐς κακὸν προῦπτον ἀνεπισκέπτως ἰὼν καὶ
but the(-one) indeed into evil foreseen without-forethought going and
σωθεὶς ἐνθένδε, ἂν οὕτω τύχῃ, ἄνοιαν ὀφλισκάνει·
having-been-saved from-there if thus it-should-happen folly incurs
γενναῖος δὲ ὃς ἂν ἐν τοῖς ἀναγκαίοις ἀνδραγαθίζηται.
noble and (is-he)-who — in the necessary(-times) plays-the-hero

23.32 οἱ μὲν οὖν βάρβαροι, ἐπεὶ ἐκ τοῦ εὐθέος ἡμῖν οὐχ
the indeed then barbarians since from the straight with-us not
οἷοί τέ εἰσι διαμάχεσθαι, προλοχίζοντες διαφθείρειν ἡμᾶς
able — are to-fight-it-out laying-ambushes to-destroy us
ἐγχειροῦσιν. ἡμῖν δὲ τοῦ διαφυγεῖν τὴν αὐτῶν ἐνέδραν
they-attempt for-us and than-the to-escape the their ambush
τὸ τὸν κίνδυνον ὑποστῆναι μεμπτότερον.
the the danger to-undergo (is)-more-blameworthy

23.33 τοῦ γὰρ ἐνδιδόναι ταῖς τῶν ἐχθρῶν γνώμαις οὐδὲν
than-the for to-give-in to-the of-the enemies designs nothing
αἴσχιον. ἐμοὶ μὲν οὖν ὅπως μὴ προσπεσεῖσθε ταῖς τῶν
more-shameful for-me indeed then that not you-will-fall into-the of-the
πολεμίων ἐνέδραις μελήσει.
enemies ambushes it-will-be-a-concern

23.34 ἔργον δ᾽ ἂν ὑμέτερον εἴη, ἐπειδὰν σημήνω, ἐς τὴν
task and — your would-be when I-signal into the
ἀναχώρησιν κατὰ τάχος ἰέναι. αὕτη δὲ ὑμῖν ἡ δήλωσις
withdrawal with speed to-go this and for-you the signal

ἐκ σάλπιγγος, ὦ στρατιῶται, τῆς πεζικῆς ἔσται.”
from (the)-trumpet O soldiers the infantry will-be
Βελισάριος μὲν τοσαῦτα εἶπεν.
Belisarius indeed so-much said
οἱ δὲ στρατιῶται ἀμφὶ τὴν πόαν κατιδόντες τοὺς 23.35
the and soldiers about the grass having-seen the
πολεμίους, δρόμῳ ἐπ᾽ αὐτοὺς ᾔεσαν, τινάς τε αὐτῶν ἐν
enemies at-a-run against them went some both of-them in
τῇ πρώτῃ ὁρμῇ ἔκτεινον.
the first onset they-killed
ἐν οἷς ἕνα χρυσοφοροῦντα τῶν τις Μαυρουσίων 23.36
among whom one wearing-gold of-the one Moors
ἰδὼν λαβόμενός τε τῶν ἐν τῇ κεφαλῇ τριχῶν, ὅπως
having-seen having-taken-hold both of-the on the head hairs so-that
ἀποδύοι, τὸν νεκρὸν ἐφείλκε.
he-might-strip(-it) the corpse dragged
Γότθος δέ τις αὐτὸν ἀκοντίῳ βαλὼν μυώνων τε, οἳ 23.37
Goth and (a)-certain him with-(a)-javelin having-hit muscles both which
ὄπισθέν εἰσι τῶν κνημῶν, ἑκατέρων ἐπιτυχών, ἐνέρσει
behind are the shins each-of-the-two having-hit by-the-pinning
τοῦ ἀκοντίου ἄμφω τὼ πόδε ξυνέδησεν.
of-the javelin both the-two feet bound-together
ἀλλ᾽ οὐδέν τι ἧσσον ὁ Μαυρούσιος τῶν τριχῶν ἐχόμενος 23.38
but nothing at-all less the Moor the hairs holding
τὸν νεκρὸν εἵλκεν. ἐν τούτῳ δὲ οἱ μὲν βάρβαροι τὰς
the corpse dragged in this and the indeed barbarians the
ἐνέδρας ἐκίνουν, Βελισάριος δὲ ἀπὸ τοῦ στρατοπέδου
ambushes set-in-motion Belisarius and from the camp
ὁρῶν τὰ ποιούμενα, ταῖς σάλπιγξι τοὺς πεζούς, οἷς
seeing the(-things) being-done with-the trumpets the infantry on-whom
τὸ ἔργον τοῦτο ἐπέκειτο, ἠχεῖν κατὰ τάχος ἐκέλευεν.
the task this was-laid to-sound with speed bade

23.39 οἵ τε Ῥωμαῖοι αἰσθόμενοι κατὰ βραχὺ ἤδη ὑπεχώρουν,
the both Romans having-perceived(-it) by little already withdrew
τὸν Μαυρούσιον ξὺν τῷ ἀκοντίῳ ἀράμενοι. οἷς δὴ οἱ
the Moor with the javelin having-lifted whom indeed the
Γότθοι ἕπεσθαι οὐκέτι ἐτόλμων, ἀλλ᾽ ἄπρακτοι ἀνεχώρησαν.
Goths to-follow no-longer dared but unsuccessful withdrew

24.1 Προϊόντος δὲ τοῦ χρόνου καὶ τῆς ἀπορίας οἱ βάρβαροι
going-on and the time and the want the barbarians
τῶν ἐπιτηδείων ἐπὶ μέγα χωρούσης, ἀνενεγκεῖν ἐς
of-the provisions to great(-height) advancing to-refer to
Οὐίττιγιν ἐβουλεύοντο τὰ παρόντα σφίσι.
Vittigis they-planned the present(-things) to-them

24.2 καὶ ἐπεὶ αὐτῶν οὐδεὶς στέλλεσθαι ἐς ταύτην δὴ τὴν
and since of-them no-one to-be-sent for this indeed the
πρᾶξιν ἐτόλμα (λήσειν γὰρ τοὺς πολιορκοῦντας οὐκ ἄν
business dared to-escape-notice for the besiegers not —
ποτε ᾠοντο), ἐπενόουν τάδε.
ever they-thought they-devised these(-things)

24.3 ἀσέληνον νύκτα τηρήσαντες καὶ τοὺς ἄνδρας ἐν παρασκευῇ
moonless (a)-night having-watched-for and the men in readiness
ποιησάμενοι, οὓς δὴ παρὰ τὸν Οὐίττιγιν πέμπειν
having-made whom indeed to — Vittigis to-send
διενοοῦντο, γράμματά τε αὐτοῖς ἐν χερσὶ θέμενοι, ἐπειδὴ
they-intended letters both to-them in hands having-put when
πόρρω ἦν τῶν νυκτῶν, ἐβόων ἅπαντες πολλαχῇ τοῦ
far it-was into-the night shouted all in-many-places of-the
περιβόλου ἐξαίσιον.
circuit-wall extraordinarily

εἴκασεν ἄν τις ἐς ταραχὴν αὐτοὺς καταστῆναι 24.4
would-have-conjectured — anyone into confusion them to-have-fallen
λίαν τε σφίσιν ἐγκειμένων τῶν πολεμίων καὶ παρὰ
very both on-them pressing-on the enemies and contrary-to
δόξαν ἁλισκομένης τῆς πόλεως.
expectation being-taken the city
οὐκ ἔχοντες δὲ παντάπασι Ῥωμαῖοι ξυμβαλεῖν τὸ 24.5
not being-able and altogether Romans to-make-out the(-thing)
γινόμενον, Βελισαρίου γνώμῃ ἐν τοῖς στρατοπέδοις ἡσυχῇ
happening of-Belisarius by-judgment in the camps quietly
ἔμενον, ἔκ τε τῆς πόλεως ἐπιβουλήν τινα ὑποτοπάσαντες
stayed from both the city plot some suspecting
ἔσεσθαι καὶ στρατὸν ἐκ Ῥαβέννης ἐπιβεβοηθηκότα τοῖς
to-be and (an)-army from Ravenna having-come-to-help to-the
πολεμίοις ἐπὶ σφᾶς ἥκειν. ἃ δὴ δεδιότες ᾤοντο
enemies against them to-be-coming which-things indeed fearing they-thought
ἄμεινον σφίσιν εἶναι ἐν τῷ ἀσφαλεῖ ἡσυχάζουσι διασώζεσθαι
better for-them to-be in the safety keeping-quiet to-be-preserved
ἢ ἐς προῦπτόν τινα κίνδυνον ἐν νυκτὶ ἀσελήνῳ χωρεῖν.
than into foreseen some danger in night moonless to-go
οὕτω γοῦν οἱ βάρβαροι λαθόντες τοὺς πολεμίους 24.6
thus at-any-rate the barbarians having-escaped-the-notice-of the enemies
ἐπὶ Ῥαβέννης τοὺς ἄνδρας ἔπεμψαν. οἳ οὐδενὸς πολεμίου
to Ravenna the men sent who of-no enemy
ἀνδρὸς ἐς ὄψιν ἐλθόντες παρά τε Οὐίττιγιν τριταῖοι
man into sight having-come to both Vittigis on-the-third-day
ἀφίκοντο καὶ τὰ γράμματα ἔδειξαν.
arrived and the letters showed
ἐδήλου δὲ ἡ γραφὴ τάδε “Ἡνίκα ἡμᾶς, ὦ βασιλεῦ, 24.7
showed and the writing these(-things) when us O king
ἐς τὴν ἐν Αὐξίμῳ φρουρὰν καθίστης, τὰς κλεῖς ἔφησθα
into the in Auximus garrison you-established the keys you-said

παρακαταθέσθαι ἡμῖν Ῥαβέννης τε αὐτῆς καὶ τῆς
to-entrust to-us of-Ravenna both itself and of-the
βασιλείας τῆς σῆς.
kingship the your

24.8 διὸ δὴ ἐπήγγελλες ἡμῖν παντὶ σθένει φυλάσσεσθαι,
wherefore indeed you-enjoined us with-all strength to-guard
ὅπως μὴ τὸ καθ' ἡμᾶς μέρος παραδῶμεν τοῖς πολεμίοις
so-that not the as-far-as us part we-should-hand-over to-the enemies
τὸ Γότθων κράτος, ἰσχυρίζου τε δεομένοις ἡμῖν παντὶ
the of-Goths power you-insisted both needing us with-all
τῷ στρατῷ παρέσεσθαι αὐτεπάγγελτος.
the army to-be-present of-your-own-accord

24.9 ἡμεῖς μὲν οὖν ἄχρι τοῦδε λιμῷ τε καὶ Βελισαρίῳ
we indeed then up-to this with-famine both and with-Belisarius
μαχόμενοι πιστοὶ φύλακες τῆς σῆς βασιλείας γεγόναμεν,
fighting faithful guardians of-the your kingship have-been
σὺ δὲ οὐδὲ ὁπωστιοῦν ἡμῖν βοηθεῖν ἔγνωκας.
you and not-even in-any-way-at-all us to-help have-decided

24.10 λογίζου τοίνυν μή ποτε Αὔξιμον ἑλόντες Ῥωμαῖοι καὶ τὰς
reckon therefore lest ever Auximus having-taken Romans and the
κλεῖς ἀνελόμενοι, ὧν αὐτὸς ἐνταῦθα κειμένων ὑπερορᾷς,
keys having-taken-up which you-yourself there lying overlook
οὐδενὸς τῶν σῶν ἀποκεκλεισμένοι τὸ λοιπὸν ὦσι." τὰ
from-none of-the your shut-off the rest they-be the
γράμματα μὲν τοσαῦτα ἐδήλου.
letters indeed so-much showed

24.11 ἐπεὶ δὲ αὐτὰ Οὐίττιγις ἀπενεχθέντα εἶδεν, ἐν μὲν
when and them Vittigis delivered saw in indeed
τῷ παραυτίκα τοὺς ἄνδρας πάσῃ τῇ Γότθων στρατιᾷ
the moment the men with-all the of-Goths army

βοηθήσειν Αὐξίμῳ ὑποσχόμενος ἀπεπέμψατο, μετὰ δὲ
to-help Auximus having-promised sent-away afterward and
πολλὰ λογισάμενος ἡσυχίαν ἦγε.
much having-reckoned quiet kept
τούς τε γὰρ ἀμφὶ τὸν Ἰωάννην ὑπώπτευε μὴ κατὰ 24.12
the(-men) both for about — John he-suspected lest at
νώτου σφίσιν ἐπισπόμενοι ἐν ἀμφιβόλῳ ποιήσωνται,
back them following in (a)-two-sided-danger they-should-make
καὶ πολλὴν οἰόμενος ξὺν Βελισαρίῳ μαχίμων ἀνδρῶν
and great thinking with Belisarius of-fighting men
δύναμιν εἶναι ἐς ἀμήχανόν τι δέος ἐξέπιπτε.
(the)-power to-be into helpless some fear he-fell
μάλιστα δὲ ἁπάντων ὁ λιμὸς αὐτὸν ξυνετάρασσεν, οὐκ 24.13
most and of-all the famine him troubled not
ἔχοντα ὅθεν ἂν τὰ ἐπιτήδεια τῷ στρατοπέδῳ πορίζηται.
having whence — the provisions for-the army he-might-procure
οἱ μὲν γὰρ Ῥωμαῖοι ἅτε θαλασσοκρατοῦντες καὶ τὸ ἐν 24.14
the indeed for Romans as ruling-the-sea and the in
Ἀγκῶνι φρούριον ἔχοντες, τὰ ἀναγκαῖα πάντα ἔκ τε
Ancon fortress holding the necessities all from both
Σικελίας καὶ Καλαβρίας ἐνταῦθα κατατιθέμενοι ἐς καιρὸν
Sicily and Calabria there depositing in season
ἐνθένδε εὐπετῶς ἔφερον.
from-there easily carried
Γότθοις δὲ στρατεύουσιν ἐς Πικηνῶν τὴν χώραν πόρον 24.15
for-Goths and campaigning to of-Picenes the land means
οὐδένα τῶν ἐπιτηδείων ἐννοῶν ἔσεσθαι ἐς ἀμηχανίαν
none of-the provisions considering to-be into perplexity
καθίστατο.
fell

24.16 Οὐιττίγιδος μὲν οὖν τὴν ὑπόσχεσιν λαθόντες τοὺς
of-Vittigis indeed then the promise having-escaped-the-notice-of the
πολεμίους ἐς Αὔξιμον ἤνεγκαν οἱ πρώην ἐς αὐτὸν
enemies to Auximus brought the(-men) lately to him
ἐνθένδε σταλέντες καὶ βαρβάρους τοὺς ἐνταῦθα κεναῖς
from-there sent and barbarians the there with-empty
ἐλπίσιν ἐπέρρωσαν.
hopes strengthened

24.17 Βελισάριος δὲ ταῦτα πρὸς τῶν αὐτομόλων ἀκούσας ἔτι
Belisarius and these(-things) from the deserters having-heard still
μᾶλλον ἐς τὸ ἀκριβὲς φυλακὴν ἐκέλευε ποιεῖσθαι, ὅπως μή
more to the exact (a)-guard bade to-make so-that not
τι συμβαίη καὶ αὖθις τοιοῦτο. ταῦτα μὲν ἐγίνετο τῇδε.
anything should-happen also again such these(-things) indeed happened thus

24.18 Οἱ δὲ ἀμφὶ Κυπριανὸν καὶ Ἰουστῖνον Φισούλαν
the(-men) and about Cyprian and Justinus Fisula
πολιορκοῦντες τῷ μὲν περιβόλῳ προσβάλλειν ἢ ἄγχιστά
besieging the indeed circuit-wall to-attack or nearest
που αὐτοῦ ἰέναι οὐδαμῇ εἶχον· δυσπρόσοδον γὰρ
somewhere it to-go in-no-way could hard-of-approach for
τοῦτο πανταχόθεν τὸ φρούριον ἦν· τῶν δὲ βαρβάρων
this from-all-sides the fortress was the and barbarians
σφίσι συχνὰ ἐπεξιόντων μάχῃ τε μᾶλλον διακρίνεσθαι
on-them repeatedly sallying in-battle both rather to-be-decided
πρὸς αὐτοὺς ἐθελόντων ἢ τῶν ἀναγκαίων τῇ ἀπορίᾳ
against them wishing than of-the necessities by-the want
πιέζεσθαι, ἀγχώμαλοι μὲν αἱ ξυμβολαὶ τὰ πρῶτα ἐγίνοντο,
to-be-pressed evenly-balanced indeed the engagements the first(-time) were
ἔπειτα δὲ πλέον ἤδη Ῥωμαῖοι ἔχοντες ἔς τε τὸ τεῖχος
then and more already Romans having into both the wall

you and not of-the(-men) going-to-enslave(-you) the judgment to-follow
ἄξιον, ἀλλὰ τῶν ἐς κίνδυνον πολέμου εὐνοίᾳ τῇ
(is)-worthy but of-the(-men) into danger of-war with-goodwill the
ἐς Γότθους καθισταμένων.
toward Goths entering

28.12 ἄλλως τε, ἢν μὲν τὰ ὅπλα ξὺν ἡμῖν ἕλησθε,
besides both if indeed the arms with us you-should-take-up
οὐδεμία λελείψεται Ῥωμαίοις ἐλπὶς ἀμφοτέροις τοῖς
none will-be-left for-Romans hope with-both the
στρατεύμασιν ἐς χεῖρας ἰέναι, ἀλλ᾽ αὐτόθεν πόνῳ οὐδενὶ
armies to hands to-go but at-once with-toil no
ἀναδησόμεθα τὸ τοῦ πολέμου κράτος.
we-will-crown(-ourselves-with) the of-the war mastery

28.13 ἢν δέ γε ξὺν Ῥωμαίοις τετάξονται Γότθοι, οὐδ᾽ ὡς τῷ
if and at-least with Romans will-be-ranged Goths not-even so the
τῶν Φράγγων ἔθνει ἀνθέξουσιν (οὐ γὰρ ἐξ ἀντιπάλου
of-the Franks nation they-will-withstand not for from equal
τῆς δυνάμεως ὁ ἀγὼν ἔσται), ἀλλὰ περιέσται ὑμῖν
the power the contest will-be but it-will-come-round to-you
τὸ ξὺν τοῖς πάντων πολεμιωτάτοις ἡσσῆσθαι.
the with the of-all most-hostile to-be-defeated

28.14 ἐς προῦπτον δὲ κακὸν ἰέναι, παρὸν κινδύνου ἐκτὸς
into foreseen and evil to-go it-being-possible of-danger outside
σώζεσθαι, πολλὴ ἄνοια. ὅλως δὲ ἄπιστον πᾶσι βαρβάροις
to-be-saved (is)-much folly altogether and faithless to-all barbarians
τὸ Ῥωμαίων καθέστηκε γένος, ἐπεὶ καὶ φύσει πολέμιόν ἐστιν.
the of-Romans has-become race since also by-nature hostile it-is

ἡμεῖς μὲν οὖν ξυνάρξομέν τε βουλομένοις ὑμῖν Ἰταλίας 28.15
we indeed then will-rule-with both wishing you Italy
ἁπάσης καὶ τὴν χώραν διοικησόμεθα, ὅπη ἂν δοκῇ ὡς
all and the land will-manage wherever — it-seems as
ἄριστα ἔχειν. σὲ δὲ καὶ Γότθους ἑλέσθαι εἰκὸς ὅ τι
best to-be you and also Goths to-choose (is)-fitting what ever
ἂν ὑμῖν ξυνοίσειν μέλλῃ." Φράγγοι μὲν τοσαῦτα εἶπον.
— for-you to-be-of-advantage is-likely Franks indeed so-much said
παρελθόντες δὲ καὶ οἱ Βελισαρίου πρέσβεις ἔλεξαν ὧδε 28.16
having-come-forward and also the of-Belisarius envoys said thus
"Ὡς μὲν οὐδὲν ἂν τῷ βασιλέως στρατῷ λυμανεῖται
that indeed nothing — the of-(the)-emperor army will-harm
τὸ Γερμανῶν πλῆθος, ᾧπερ οὗτοι δεδίττεσθαι ὑμᾶς
the of-Germans multitude with-which-very these to-frighten you
ἀξιοῦσι, τί ἄν τις ἐν ὑμῖν μακρολογοίη, οἷς γε
think-fit why — anyone among you would-speak-at-length to-whom at-least
διὰ μακρὰν ἐμπειρίαν ἅπασαν ἐξεπίστασθαι τὴν τοῦ
through long experience all to-know-well the of-the
πολέμου ῥοπὴν ξυμβαίνει, καὶ ὡς ἥκιστα ἀρετὴ
war turn-of-the-scale it-befalls and that least valor
ἀνθρώπων ὁμίλῳ φιλεῖ ἐλασσοῦσθαι;
of-men by-(a)-throng is-wont to-be-worsted
ἐῶμεν γὰρ λέγειν ὡς καὶ πάντων μάλιστα βασιλεῖ 28.17
let-us-pass-over for to-say that also of-all most for-(the)-emperor
πάρεστι πλήθει στρατιωτῶν περιεῖναι τῶν πολεμίων. τὸ
it-is-possible by-number of-soldiers to-prevail-over the enemies the
δὲ δὴ τούτων πιστόν, ᾧ χρῆσθαι αὐχοῦσιν ἐς πάντας
and indeed of-these faithfulness which to-use they-boast toward all
βαρβάρους, μετά γε Θορίγγους καὶ τὸ Βουργουζιώνων
barbarians after at-least Thuringians and the of-Burgundians

ἔθνος, καὶ ἐς τοὺς ξυμμάχους ὑμᾶς παρὰ τῶν ἀνδρῶν
nation also toward the allies you by the men
ἐπιδέδεικται.
has-been-displayed

28.18 ὡς ἡμεῖς γε ἡδέως ἂν Φράγγους ἐροίμεθα τίνα ποτὲ
as we at-least gladly — Franks would-ask what ever
μέλλοντες ὀμεῖσθαι θεὸν τὸ τῆς πίστεως ὑμῖν ἐχυρὸν
being-about to-swear-by god the of-the faith to-you security
ἰσχυρίζονται δώσειν.
they-insist to-give

28.19 τὸν γὰρ ἤδη αὐτοῖς ὀμωμοσμένον ὅντινα τετιμήκασι
the(-one) for already by-them sworn-by in-what they-have-honored
τρόπον ἐπίστασθε δή που· οἵ γε χρήματα μὲν
way you-know indeed somehow who at-least money indeed
τοσαῦτα τὸ πλῆθος, Γαλλίας δὲ ὅλας παρ᾽ ὑμῶν ἐπὶ
so-great the number Gauls and whole from you for
ξυμμαχίᾳ κεκομισμένοι οὐχ ὅσον ὑμῖν τοῦ κινδύνου
alliance having-received not only with-you of-the danger
συνάρασθαι οὐδαμῶς ἔγνωσαν, ἀλλὰ καὶ ὅπλα οὕτως
to-share in-no-way they-decided but also arms thus
ἀνέδην καθ᾽ ὑμῶν εἵλοντο, εἴ τις ἐν ὑμῖν τῶν
openly against you took if any among you of-the(-things)
πρὸς τῷ Πάδῳ ξυμπεπτωκότων διασώζεται λόγος.
at the Po having-happened is-preserved account

28.20 καὶ τί δεῖ τὰ φθάσαντα λέγοντας ἐλέγχειν τὸ
and why is-it-needful the(-things) having-gone-before telling to-refute the
τῶν Φράγγων ἀσέβημα; τῆς παρούσης αὐτῶν πρεσβείας
of-the Franks impiety than-the present their embassy
οὐδὲν ἂν γένοιτο μιαρώτερον.
nothing — would-be more-abominable

ὥσπερ γὰρ ἐπιλελησμένοι τῶν σφίσιν αὐτοῖς 28.21
as for having-forgotten the(-things) by-them selves
ὡμολογημένων τε καὶ ταῖς ξυνθήκαις ὀμωμοσμένων
agreed both and in-the compacts sworn
κοινωνεῖν τῶν πάντων ὑμῖν ἀξιοῦσιν.
to-share of-the all(-things) with-you they-think-fit
ἢν δὲ καὶ τούτου παρ᾽ ὑμῶν τύχωσιν, εἰς τί ποτε 28.22
if and also this from you they-should-obtain to what ever
αὐτοῖς τελευτήσει τὸ τῶν χρημάτων ἀκόρεστον σκοπεῖσθαι
for-them will-end the of-the money insatiability to-consider
προσήκει.”
it-befits
Τοσαῦτα μὲν καὶ οἱ Βελισαρίου πρέσβεις ἔλεξαν. Οὐίττιγις 28.23
so-much indeed also the of-Belisarius envoys said Vittigis
δὲ ξὺν Γότθων τοῖς ἀρίστοις πολλὰ κοινολογησάμενος
and with of-Goths the best much having-conferred
τάς τε πρὸς βασιλέα ξυνθήκας εἵλετο καὶ ἀπράκτους
the both with (the)-emperor compacts chose and unsuccessful
ἀπεπέμψατο τοὺς Γερμανῶν πρέσβεις. καὶ τὸ λοιπὸν
sent-away the of-Germans envoys and the rest
Γότθοι μὲν καὶ Ῥωμαῖοι πρὸς ἀλλήλους ἐπεκηρυκεύοντο
Goths indeed and Romans with one-another negotiated
ἤδη, Βελισάριος δὲ οὐδέν τι ἧσσον ἐφύλασσε τοῦ μὴ
already Belisarius and nothing at-all less guarded of-the not
τοὺς βαρβάρους τὰ ἐπιτήδεια ἐσκομίζεσθαι.
the barbarians the provisions to-bring-in
καὶ Βιτάλιον μὲν ἐς Βενετίους ἰόντα ὡς πλεῖστα 28.24
and Vitalius indeed to Veneti going as most
ἐπάγεσθαι τῶν ἐκείνῃ χωρίων ἐκέλευεν, αὐτὸς δὲ Ἰλδίγερα
to-bring-over of-the there places bade he-himself and Ildiger
πέμψας τὸν Πάδον ἐφύλασσεν ἑκατέρωθεν, ὅπως τε οἱ
having-sent the Po guarded on-each-side so-that both the

βάρβαροι μᾶλλον ἀπορίᾳ τῶν ἀναγκαίων ἐνδώσουσι καὶ
barbarians more by-want of-the necessities will-give-in and
τὰς ξυνθήκας ποιήσονται ᾗ αὐτὸς βούλεται.
the compacts will-make as he-himself wishes
28.25 καὶ ἐπεὶ σῖτον πολὺν ἐν δημοσίοις οἰκήμασιν ἔτι ἐντὸς
and when grain much in public buildings still within
Ῥαβέννης ἀποκεῖσθαι ἔγνω, τῶν τινα ταύτῃ ᾠκημένων
Ravenna to-be-stored he-learned of-the one there dwelling
ἀνέπεισε χρήμασι ταῦτα δὴ τὰ οἰκήματα ξὺν τῷ σίτῳ
he-persuaded with-money these indeed the buildings with the grain
λάθρα ἐμπρῆσαι.
secretly to-set-on-fire
28.26 φασὶ δὲ καὶ γνώμῃ Ματασούνθης, τῆς Οὐιττίγιδος
they-say and also by-(the)-judgment of-Matasuntha the of-Vittigis
γυναικός, ταῦτα ἀπολωλέναι. ἐπειδή τε ὁ σῖτος ἐκ
wife these(-things) to-have-perished when both the grain from
τοῦ αἰφνιδίου ἐκέκαυτο, οἱ μέν τινες ἐξ ἐπιβουλῆς
the sudden had-been-burned the(-ones) indeed some from (a)-plot
γεγενῆσθαι τὸ ἔργον ὑπετόπαζον, οἱ δὲ κεραυνῷ τὸν
to-have-happened the deed suspected the(-ones) and by-thunderbolt the
χῶρον βεβλῆσθαι ὑπώπτευον.
place to-have-been-struck supposed
28.27 ἑκάτερα δὲ λογιζόμενοι Γότθοι τε καὶ Οὐίττιγις ἐς
both and reckoning Goths both and Vittigis into
ἀμηχανίαν ἔτι μᾶλλον ἐνέπιπτον, οὐδὲ σφίσιν αὐτοῖς
perplexity still more fell not-even them selves
πιστεύειν τὸ λοιπὸν ἔχοντες καὶ πρὸς τοῦ θεοῦ
to-trust the rest being-able and by — God
πολεμεῖσθαι οἰόμενοι. ταῦτα μὲν οὖν ταύτῃ ἐπράσσετο.
to-be-warred-against thinking these(-things) indeed then thus was-done

Ἐν δὲ Ἄλπεσιν, αἳ Γάλλους τε καὶ Λιγούρους διορίζουσιν, 28.28
in and (the)-Alps which Gauls both and Ligurians divide
ἅσπερ Ἄλπεις Κουτίας καλοῦσι Ῥωμαῖοι, φρούρια συχνὰ
which-very Alps Cottian call Romans fortresses many
ξυμβαίνει εἶναι.
it-befalls to-be
οὗ δὴ Γότθοι ἐκ παλαιοῦ πολλοί τε καὶ ἄριστοι, 28.29
where indeed Goths from of-old many both and best
ξύν τε γυναιξὶ καὶ παισὶ τοῖς αὐτῶν ᾠκημένοι, φυλακὴν
with both wives and children the their settled (a)-guard
εἶχον, οὕσπερ ἐπεί οἱ βούλεσθαι Βελισάριος προσχωρεῖν
had whom-very when to-him to-wish Belisarius to-come-over
ἤκουσε, τῶν οἱ ἑπομένων τινά, Θωμᾶν ὄνομα, ξὺν
heard of-the to-him following one Thomas by-name with
ὀλίγοις τισὶ παρ᾽ αὐτοὺς ἔπεμψεν, ἐφ᾽ ᾧ τὰ πιστὰ
few some to them he-sent on which the pledges
δόντες παραστήσονται ὁμολογίᾳ τοὺς ταύτῃ βαρβάρους.
having-given they-will-win-over by-agreement the there barbarians
καὶ αὐτοὺς ἐς τὰς Ἄλπεις ἀφικομένους Σίσιγις, ὃς 28.30
and them to the Alps having-arrived Sisigis who
τῶν ἐνταῦθα φυλακτηρίων ἦρχεν, ἑνὶ τῶν φρουρίων
of-the there garrisons commanded in-one of-the fortresses
δεξάμενος, αὐτός τε προσεχώρησε καὶ τῶν ἄλλων
having-received he-himself both came-over and of-the others
ἑκάστους εἰς τοῦτο ἐνῆγεν.
each to this led
ἐν τούτῳ δὲ Οὐραΐας τετρακισχιλίους Λιγούρους τε 28.31
in this and Uraias four-thousand Ligurians both
κἀκ τῶν ἐν ταῖς Ἄλπεσι φρουρίων ἀπολεξάμενος, ἐπὶ
and-from the in the Alps fortresses having-chosen to
Ῥάβενναν ὡς βοηθήσων κατὰ τάχος ᾔει.
Ravenna as going-to-help with speed went

28.32 οἵπερ ἐπειδὴ τὰ Σισίγιδι πεπραγμένα ἐπύθοντο, ἀμφὶ
who-very when the(-things) by-Sisigis done they-learned about
τοῖς οἰκείοις δεδιότες, ἐνταῦθα πρῶτον ἠξίουν ἰέναι.
the own(-people) fearing there first thought-fit to-go
28.33 διὸ δὴ Οὐραΐας παντὶ τῷ στρατῷ ἐς τὰς Ἄλπεις
wherefore indeed Uraias with-all the army to the Alps
Κουτίας ἦλθε καὶ τὸν Σίσιγιν ξὺν τοῖς ἀμφὶ τὸν Θωμᾶν
Cottian came and — Sisigis with the(-men) about — Thomas
ἐπολιόρκει. ταῦτα Ἰωάννης τε, ὁ Βιταλιανοῦ ἀδελφιδοῦς,
besieged these(-things) John both the of-Vitalian nephew
καὶ Μαρτῖνος πυθόμενοι (ἀγχοτάτω γὰρ Πάδου ποταμοῦ
and Martinus having-learned nearest for of-(the)-Po river
ὄντες ἐτύγχανον) κατὰ τάχος ἐβοήθουν παντὶ τῷ στρατῷ
being they-happened with speed went-to-help with-all the army
καὶ τῶν ἐν ταῖς Ἄλπεσι φρουρίων τισὶν ἐξ ἐπιδρομῆς
and of-the in the Alps fortresses some from (a)-sally
ἐπισκήψαντες εἷλον, καὶ τοὺς ἐνταῦθα ᾠκημένους
having-fallen-upon took and the(-people) there settled
ἠνδραποδίσαντο, ἐν οἷς παῖδάς τε συχνοὺς καὶ γυναῖκας
enslaved among whom children both many and wives
τῶν ὑπὸ τῷ Οὐραΐᾳ στρατευομένων ξυνέπεσεν εἶναι.
of-the(-men) under — Uraias campaigning it-befell to-be
28.34 πλεῖστοι γὰρ αὐτῶν ἐκ τούτων δὴ τῶν φρουρίων
most for of-them from these indeed the fortresses
ὁρμώμενοι εἵποντο.
setting-out followed
28.35 οἵπερ, ἐπεὶ ἁλῶναι τὰ σφέτερα αὐτῶν ἔμαθον,
who-very when to-have-been-taken the their own they-learned
ἀποταξάμενοι τοῦ Γότθων στρατοπέδου ἐκ τοῦ αἰφνιδίου,
having-separated from-the of-Goths camp from the sudden
τοῖς ἀμφὶ τὸν Ἰωάννην προσχωρεῖν ἔγνωσαν, καὶ ἀπ᾽
to-the(-men) about — John to-come-over decided and from

αὐτοῦ Οὐραΐας οὔτε τι ἐνταῦθα ἀνύτειν οὔτε τοῖς
this Uraias neither anything there to-accomplish nor to-the
ἐν Ῥαβέννῃ κινδυνεύουσι Γότθοις βοηθεῖν ἴσχυσεν, ἀλλὰ
in Ravenna being-in-danger Goths to-help was-able but
ἄπρακτος ἐς Λιγουρίαν ξὺν ὀλίγοις ἐλθὼν ἡσυχῇ ἔμενε.
unsuccessful to Liguria with few having-come quietly stayed
καὶ Βελισάριος κατ᾽ ἐξουσίαν Οὐίττιγίν τε καὶ Γότθων
and Belisarius at liberty Vittigis both and of-Goths
τοὺς δοκίμους ἐν Ῥαβέννῃ καθεῖρξε.
the approved(-men) in Ravenna shut-in

XXV · RAVENNA TAKEN

Domnicus and Maximinus bring terms dividing Italy at the Po, which Belisarius will not sign. The starving Goths offer him the throne of the west; he feigns assent and enters Ravenna. Recalled for the Persian war, he is offered the crown again by Ildibadus, made king when Uraias declined it, and refuses.

Τότε δὲ καὶ πρέσβεις ἐκ βασιλέως ἀφίκοντο, Δόμνικός 29.1
at-that-time and also envoys from (the)-emperor arrived Domnicus
τε καὶ Μαξιμῖνος, ἐκ βουλῆς ἄμφω, ἐφ᾽ ᾧ τὴν εἰρήνην
both and Maximinus from (the)-senate both on which the peace
κατὰ τάδε ποιήσονται.
according-to these(-things) they-will-make
Οὐίττιγιν μὲν πλούτου τὸ ἥμισυ τοῦ βασιλικοῦ φέρεσθαι, 29.2
Vittigis indeed of-wealth the half of-the royal to-carry-off
χώρας τε ἄρχειν ἣ ἐκτὸς Πάδου ποταμοῦ ἐστι· τῶν
of-land both to-rule which outside of-(the)-Po river is of-the
δὲ δὴ χρημάτων τὸ ἥμισυ βασιλέως εἶναι, καὶ αὐτὸν
and indeed money the half of-(the)-emperor to-be and him

ὅσα ἐντὸς Πάδου ποταμοῦ ἐστιν ὑπήκοα ἐς ἀπαγωγὴν
as-much-as within of-(the)-Po river is subject for payment
φόρου ποιήσασθαι.
of-tribute to-make

29.3 Βελισαρίῳ τε οἱ πρέσβεις τὰ βασιλέως γράμματα
to-Belisarius both the envoys the of-(the)-emperor letters
δείξαντες ἐς Ῥάβενναν ἐκομίσθησαν. μαθόντες δὲ Γότθοι
having-shown to Ravenna were-conveyed having-learned and Goths
καὶ Οὐίττιγις ἐφ' ᾧ ἥκοιεν, ἄσμενοι κατὰ ταῦτα
and Vittigis on which they-had-come gladly according-to these(-things)
ὡμολόγησαν τὰς σπονδὰς θήσεσθαι.
agreed the treaty to-make

29.4 ἅπερ ἀκούσας Βελισάριος ἤσχαλλεν, ἐν ξυμφορᾷ μεγάλῃ
which-very having-heard Belisarius was-vexed in misfortune great
ποιούμενος, εἰ μή τις αὐτὸν ἐῴη, παρὸν οὐδενὶ
making(-it) if not anyone him should-allow it-being-possible with-no
πόνῳ, τό τε κράτος τοῦ πολέμου παντὸς φέρεσθαι καὶ
toil the both mastery of-the war whole to-carry-off and
δορυάλωτον Οὐίττιγιν ἐς Βυζάντιον ἀγαγεῖν.
spear-captive Vittigis to Byzantium to-lead

29.5 ἐπειδή τε οἱ πρέσβεις ἐκ Ῥαβέννης πρὸς αὐτὸν ἵκοντο,
when both the envoys from Ravenna to him came
γράμμασιν οἰκείοις ἐπιρρῶσαι τὰς ξυνθήκας ἥκιστα ἤθελεν.
with-letters own to-confirm the compacts least he-wished

29.6 ὧνπερ οἱ Γότθοι αἰσθόμενοι νῷ τε δολερῷ τὴν
which-very the Goths perceiving with-mind both crafty the
εἰρήνην σφίσι Ῥωμαίους προτείνεσθαι ὑπετόπαζον, καὶ
peace to-them Romans to-proffer suspected and
ὑποψίᾳ ἐς αὐτοὺς μεγάλῃ ἐχρῶντο, ἄντικρύς τε ἤδη
with-suspicion toward them great they-had openly both already

ἔφασκον ἄνευ τῶν Βελισαρίου γραμμάτων τε καὶ ὅρκων
they-said without the of-Belisarius letters both and oaths
οὔποτε ξυνθήκας πρὸς αὐτοὺς θήσεσθαι.
never compacts with them to-make
ἀκούσας δὲ Βελισάριος λοιδορεῖσθαί οἱ τῶν ἀρχόντων τινάς, 29.7
having-heard and Belisarius to-revile him of-the commanders some
ὡς δὴ ἐπιβουλεύων τοῖς βασιλέως πράγμασι τὸν πόλεμον
as indeed plotting-against the of-(the)-emperor affairs the war
καταλύειν οὐδαμῶς βούλοιτο, ξυγκαλέσας ἅπαντας,
to-end in-no-way he-wished having-called-together all
Δομνίκου τε καὶ Μαξιμίνου παρόντων, ἔλεξε τοιάδε
Domnicus both and Maximinus being-present said such(-things)
“Τὴν μὲν τοῦ πολέμου τύχην ἐν τῷ ἀσφαλεῖ ὡς ἥκιστα 29.8
the indeed of-the war fortune in the safety as least
ἑστάναι αὐτός τε οἶδα καὶ ὑμῶν ἕκαστον ταὐτά μοι
to-stand myself both I-know and of-you each the-same with-me
γινώσκειν ὑπὲρ αὐτῆς οἶμαι.
to-think about it I-think
πολλούς τε γὰρ ἐπίδοξος, ὅτι δὴ ἐς αὐτοὺς ἀφίξεται, οὖσα 29.9
many both for expected that indeed to them it-will-come being
ἡ τῆς νίκης ἐλπὶς ἔσφηλε, καὶ τοῖς ἠτυχηκέναι
the of-the victory hope has-tripped-up and the(-ones) to-have-been-unfortunate
δοκοῦσι τῶν ἐχθρῶν ἤδη παρὰ δόξαν περιεῖναι ξυνέβη.
seeming of-the enemies already beyond expectation to-prevail it-befell
διὸ δή φημι χρῆναι τοὺς ὑπὲρ τῆς εἰρήνης 29.10
wherefore indeed I-say to-be-needful the(-ones) about the peace
βουλευομένους οὐ τὴν ἀγαθὴν ἐλπίδα προβάλλεσθαι μόνον,
deliberating not the good hope to-put-forward only
ἐφ’ ἑκάτερα δὲ τὴν ἀπόβασιν ἔσεσθαι σφίσιν ἐν νῷ
on either(-side) and the outcome to-be for-them in mind
ἔχοντας, οὕτω τὴν αἵρεσιν ποιεῖσθαι τῆς γνώμης.
having so the choice to-make of-the judgment

29.11 τούτων δὲ τοιούτων ὄντων, ὑμᾶς τε τοὺς ξυνάρχοντας
these(-things) and such being you both the fellow-commanders
καὶ τούσδε τοὺς βασιλέως πρέσβεις ξυνεισάγειν ἔδοξεν
and these the of-(the)-emperor envoys to-bring-together it-seemed-good
ἔμοιγε, ὅπως ἐν τῷ παρόντι κατ᾽ ἐξουσίαν ἑλόμενοι
to-me-at-least so-that in the present with liberty having-chosen
ὅ τι ἂν βασιλεῖ ξυνοίσειν δοκῇ, μήποτέ τινα
what ever — for-(the)-emperor to-be-of-advantage may-seem never any
ὀπίσω τῶν πραγμάτων κατ᾽ ἐμοῦ ποιήσησθε μέμψιν.
afterward of-the affairs against me you-may-make blame

29.12 τῶν γὰρ ἀτοπωτάτων ἂν εἴη σιωπᾶν μὲν ἕως
of-the(-things) for most-absurd — it-would-be to-keep-silent indeed while
ἔξεστιν ἐξελέσθαι τὰ κρείσσω, σκοπουμένοις δὲ τὴν ἀπὸ
it-is-possible to-choose the better(-things) considering and the from
τῆς τύχης ἀπόβασιν τὰς αἰτίας ποιεῖσθαι.
the fortune outcome the charges to-make

29.13 ὅσα μὲν οὖν ἐς τὴν τοῦ πολέμου διάλυσιν βασιλεῖ
as-much-as indeed then for the of-the war ending to-(the)-emperor
τε δέδοκται καὶ Οὐιττίγιδι βουλομένῳ ἐστίν, ἐπίστασθε
both has-been-resolved and to-Vittigis wishing is you-know
δή που.
indeed somehow

29.14 εἰ δὲ καὶ ὑμῖν ξύμφορα ταῦτα εἶναι δοκεῖ, λεγέτω
if and also to-you advantageous these(-things) to-be seems let-him-say
παρελθὼν ἕκαστος. εἰ μέντοι πᾶσάν τε Ἰταλίαν οἴεσθε
having-come-forward each if however all both Italy you-think
Ῥωμαίοις ἀνασώσασθαι οἷοί τε εἶναι καὶ τῶν πολεμίων
for-Romans to-recover able — to-be and of-the enemies
τὴν ἐπικράτησιν ποιήσασθαι, οὐδὲν κωλύσει μηδὲν
the mastery to-make nothing will-prevent nothing
ὑποστειλαμένους εἰπεῖν.” ταῦτα ἐπεὶ Βελισάριος εἶπεν,
holding-back to-say these(-things) when Belisarius said

ἅπαντες ἄντικρυς ἀπεφήναντο τὰ βασιλέως βουλεύματα 29.15
all openly declared the of-(the)-emperor plans
βέλτιστα εἶναι, καὶ οὐδὲν αὐτοὺς οἵους τε ἔσεσθαι
best to-be and nothing them able — to-be
περαιτέρω τοὺς πολεμίους ἐργάζεσθαι.
further the enemies to-do
Βελισάριος δὲ ἡσθεὶς τῶν ἀρχόντων τῇ γνώμῃ γράμμασιν 29.16
Belisarius and pleased of-the commanders at-the judgment in-writing
αὐτὴν ἠξίου δηλῶσαι, ὡς μήποτε αὐτὴν ἀρνηθεῖεν. οἱ
it he-asked to-make-plain so-that never it they-might-deny they
δὲ καὶ γράψαντες ἐν βιβλιδίῳ ἐδήλουν οὐχ οἷοί τε εἶναι
and also having-written in (a)-little-book made-plain not able — to-be
περιέσεσθαι τῷ πολέμῳ τῶν ἐναντίων.
to-prevail in-the war over-the opponents
Ταῦτα μὲν ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἐγίνετο. 29.17
these(-things) indeed in the of-Romans camp happened
Γότθοι δὲ τῷ λιμῷ πιεζόμενοι οὐκέτι τε ἀντέχειν
Goths and by-the famine being-pressed no-longer both to-hold-out
τῇ ταλαιπωρίᾳ δυνάμενοι Οὐιττίγιδος μὲν τῇ ἀρχῇ
against-the hardship being-able of-Vittigis indeed with-the rule
ἤχθοντο ἅτε ὡς μάλιστα δεδυστυχηκότος, βασιλεῖ δὲ
were-displeased as as most having-been-unfortunate to-(the)-emperor and
προσχωρεῖν ὤκνουν, δεδιότες ἄλλο μὲν οὐδέν, ὅπως δὲ
to-come-over they-shrank fearing other(-thing) indeed nothing lest and
μὴ δοῦλοι βασιλέως γενόμενοι ἔκ τε Ἰταλίας ἀνίστασθαι
not slaves of-(the)-emperor having-become from both Italy to-be-removed
ἀναγκάζοιντο καὶ ἐς Βυζάντιον ἰόντες ἐνταῦθα ἱδρύσεσθαι.
they-be-compelled and to Byzantium going there to-be-settled
ἐν σφίσιν οὖν αὐτοῖς βουλευσάμενοι, εἴ τι ἐν Γότθοις 29.18
among them then selves having-deliberated if anything in Goths
καθαρὸν ἦν, βασιλέα τῆς ἑσπερίας Βελισάριον ἀνειπεῖν
pure was king of-the west Belisarius to-proclaim

ἔγνωσαν. πέμψαντες δὲ παρ᾽ αὐτὸν λάθρα ἐδέοντο ἐς
they-decided having-sent and to him secretly asked into
τὴν βασιλείαν καθίστασθαι· ταύτῃ γὰρ αὐτῷ ἄσμενοι
the kingship to-be-established in-this-way for him gladly
ἕψεσθαι ἰσχυρίζοντο.
to-follow they-insisted

29.19 Βελισάριος δὲ καταστῆναι μὲν ἐς τὴν ἀρχὴν οὐχ ἑκόντος
Belisarius and to-be-established indeed into the rule not willing
βασιλέως ἥκιστα ἤθελε.
(the)-emperor least wished

29.20 τῷ τε γὰρ τοῦ τυράννου ὀνόματι ὑπερφυῶς ἤχθετο καὶ
at-the both for of-the tyrant name extraordinarily was-displeased and
ὅρκοις δεινοτάτοις πρὸς βασιλέως καταληφθεὶς πρότερον
by-oaths most-dreadful by (the)-emperor having-been-bound earlier
ἔτυχε, μήποτε αὐτοῦ περιόντος νεωτεριεῖν· ὅπως δὲ τὰ
happened never he living to-make-revolt so-that and the
παρόντα ὡς ἄριστα διοικήσηται, ἀσμένως ἔδοξε τοὺς
present(-things) as best he-might-manage gladly he-thought-fit the
τῶν βαρβάρων λόγους ἐνδέχεσθαι.
of-the barbarians proposals to-accept

29.21 ὧν δὴ αἰσθόμενος Οὐίττιγις ἔδεισέ τε καὶ Γότθους
which-very indeed perceiving Vittigis feared both and Goths
ὡς βέλτιστα βεβουλεῦσθαι εἰπὼν Βελισαρίῳ καὶ αὐτὸς
as best to-have-deliberated saying to-Belisarius also himself
λάθρα παρῄνει ἐς τὴν βασιλείαν ἰέναι·
secretly urged into the kingship to-go

29.22 οὐδένα γάρ οἱ ἐμποδὼν στήσεσθαι. καὶ τότε δὴ
no-one for to-him in-the-way to-be-going-to-stand and then indeed
Βελισάριος αὖθις τούς τε βασιλέως πρέσβεις καὶ πάντας
Belisarius again the both of-(the)-emperor envoys and all
ξυγκαλέσας τοὺς ἄρχοντας ἠρώτα, εἰ αὐτοῖς λόγου
having-called-together the commanders asked if to-them of-account

πολλοῦ ἄξιον εἶναι δοκεῖ Γότθους τε ἅπαντας ξὺν
much worthy to-be seems Goths both all with
Οὐιττίγιδι δορυαλώτους ποιήσασθαι, καὶ χρήματα μὲν πάντα
Vittigis spear-captives to-make and money indeed all
ληΐσασθαι, Ἰταλίαν δὲ Ῥωμαίοις ξύμπασαν ἀνασώσασθαι.
to-plunder Italy and for-Romans whole to-recover
οἱ δὲ ὑψηλόν τε καὶ ὑπέρογκον τοῦτο Ῥωμαίοις εὐτύχημα 29.23
they and lofty both and overwhelming this for-Romans good-fortune
ἔφασκον ἔσεσθαι, καὶ πράσσειν αὐτὸν ὅπη ἂν
said would-be and to-do him in-whatever-way —
δύνηταί τι ὡς τάχιστα ἠξίουν.
he-can it as quickest they-asked
αὐτίκα γοῦν παρά τε Οὐίττιγιν καὶ Γότθων τοὺς 29.24
at-once at-any-rate to both Vittigis and of-Goths the
δοκίμους Βελισάριος τῶν ἐπιτηδείων τινὰς ἔπεμψε,
approved(-men) Belisarius of-the intimates some sent
κελεύων ἐπιτελῆ ποιήσειν ὅσα ὑπέσχοντο.
bidding accomplished to-make as-much-as they-had-promised
οὐδὲ γὰρ αὐτοὺς ἐς ἄλλον τινὰ χρόνον τὴν πρᾶξιν 29.25
not-even for them to other some time the deed
ἀποτίθεσθαι ὁ λιμὸς ξυνεχώρει, ἀλλ᾽ ἔτι μᾶλλον ἐγκείμενος
to-put-off the famine allowed but still more pressing-on
ἐς ταύτην ἐνῆγε.
toward this drove
διὸ καὶ πρέσβεις ἐς τὸ Ῥωμαίων στρατόπεδον στέλλουσιν 29.26
wherefore also envoys to the of-Romans camp they-send
αὖθις, ἄλλο μὲν ὅτι δὴ ἐς τὸ πλῆθος ἐροῦντας,
again other(-thing) indeed whatever indeed to the multitude going-to-say
ἐν παραβύστῳ δὲ πρὸς Βελισαρίου τὰ πιστὰ ληψομένους,
in secret and from Belisarius the pledges going-to-receive
ὡς ἄχαρί τε αὐτῶν ἐργάσεται οὐδένα καὶ βασιλεὺς τὸ
that harm both of-them will-do to-none and king the

λοιπὸν Ἰταλιωτῶν αὐτὸς καὶ Γότθων εἴη, οὕτω τε ξὺν
rest of-Italians himself and of-Goths should-be thus both with
αὐτῷ καὶ τῷ Ῥωμαίων στρατῷ ἐς Ῥάβενναν ἥξοντας.
him and the of-Romans army to Ravenna going-to-come

29.27 Βελισάριος δὲ τὰ μὲν ἄλλα ὤμοσεν ἅπαντα, καθάπερ
Belisarius and the indeed other(-things) swore all as
οἱ πρέσβεις ἠξίουν, ὑπὲρ δὲ τῆς βασιλείας αὐτῷ Οὐιττίγιδι
the envoys asked about and the kingship himself to-Vittigis
καὶ Γότθων τοῖς ἄρχουσιν ὀμεῖσθαι ἔφη.
and of-Goths to-the commanders he-would-swear said

29.28 καὶ αὐτὸν οἱ πρέσβεις οὐκ ἄν ποτε ἀποσείεσθαι τὴν
and him the envoys not — ever to-shake-off the
βασιλείαν οἰόμενοι, ἀλλ᾽ ἐφίεσθαι αὐτῆς πάντων μάλιστα,
kingship thinking but to-desire it of-all most
αὐτίκα δὴ μάλα ἐς Ῥάβενναν ξὺν αὐτοῖς ἐκέλευον ἰέναι.
at-once indeed very to Ravenna with them bade(-him) to-go

29.29 καὶ τότε δὴ Βελισάριος Βέσσαν τε καὶ Ἰωάννην καὶ
and then indeed Belisarius Bessas both and John and
Ναρσῆν καὶ Ἀράτιον (τούτους γάρ οἱ ὡς μάλιστα δύσνους
Narses and Aratius these for to-him as most ill-disposed
εἶναι ὑπώπτευεν) ἄλλον ἀλλαχόσε ξὺν τοῖς ἑπομένοις
to-be he-suspected one elsewhere with the following
ἐκέλευεν ἰέναι τά τε ἀναγκαῖα σφίσι πορίζεσθαι· αὐτῷ
bade to-go the both necessities for-themselves to-procure for-him
γὰρ οὐκέτι ἔφασκε δυνατὰ εἶναι ἐς τοῦτο δὴ τὸ χωρίον
for no-longer he-said possible to-be into this indeed the place
παντὶ τῷ στρατῷ τὰ ἐπιτήδεια ἐσκομίζεσθαι.
for-all the army the provisions to-bring-in

29.30 καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν, ξὺν Ἀθανασίῳ τῷ
and they indeed according-to these(-things) did with Athanasius the
τῶν πραιτωρίων ὑπάρχῳ, ἄρτι ἥκοντι ἐκ Βυζαντίου,
of-the praetoria prefect just-now arrived from Byzantium

αὐτὸς δὲ τῷ ἄλλῳ στρατεύματι σὺν Γότθων τοῖς
he-himself and with-the other army with of-Goths the
πρέσβεσιν ἐς Ῥάβενναν ᾔει.
envoys to Ravenna went
καὶ νηῶν στόλον ἐμπλησάμενος σίτου καὶ τῶν ἄλλων 29.31
and of-ships (a)-fleet having-filled with-grain and of-the other
ἐπιτηδείων ἐκέλευε κατὰ τάχος ἐς Κλάσσες τὸν λιμένα
provisions bade with speed to Classes the harbor
ἐσπλεῖν. οὕτω γὰρ Ῥωμαῖοι τὸ Ῥαβέννης προάστειον
to-sail-in thus for Romans the of-Ravenna suburb
καλοῦσιν, οὗ ὁ λιμήν ἐστιν.
call where the harbor is
ἐμοὶ δὲ τότε διασκοπουμένῳ τὴν ἐς Ῥάβενναν εἴσοδον 29.32
to-me and then examining the into Ravenna entry
τοῦ Ῥωμαίων στρατοῦ ἔννοιά τις ἐγένετο, ἀνθρώπων μὲν
of-the of-Romans army thought some came of-men indeed
ξυνέσει ἢ τῇ ἄλλῃ ἀρετῇ ὡς ἥκιστα περαίνεσθαι
by-understanding or by-the other virtue as least to-be-accomplished
τὰ πρασσόμενα, εἶναι δέ τι δαιμόνιον, ὅπερ αὐτῶν
the(-things) being-done to-be and some divine(-power) which-very of-them
ἀεὶ στρέφον τὰς διανοίας ἐνταῦθα ἄγει οὗ δὴ κωλύμη
always turning the minds there leads where indeed hindrance
τις τοῖς περαινομένοις οὐδεμία ἔσται.
any to-the(-things) being-accomplished none will-be
τοὺς γὰρ ἐναντίους οἱ Γότθοι πλήθει καὶ δυνάμει παρὰ 29.33
the for opponents the Goths in-number and in-power by
πολὺ ὑπεραίροντες καὶ οὔτε μάχῃ διακριθέντες, ἐπεὶ ἐν
much surpassing and neither by-battle having-been-decided since in
Ῥαβέννῃ ἐγένοντο, οὔτε ἄλλῳ ὁτῳοῦν δεδουλωμένοι
Ravenna they-were nor by-other anything-whatever having-been-enslaved

τὸ φρόνημα, δορυάλωτοί τε πρὸς τῶν ἐλασσόνων
in-the spirit spear-captives both by the fewer
ἐγίνοντο καὶ τὸ τῆς δουλείας ὄνομα ἐν ὕβρει οὐδεμιᾷ ἦγον.
became and the of-the slavery name in insult none held
29.34 αἱ δὲ γυναῖκες (ἐτύγχανον γὰρ πρὸς τῶν ἀνδρῶν
the and women they-happened for from the men
ἀκηκουῖαι μεγάλους τε τὰ σώματα καὶ ἀριθμοῦ κρείσσους
having-heard great both in-the bodies and than-number superior
τοὺς πολεμίους εἶναι) τὰ πρόσωπα τῶν ἀνδρῶν πᾶσαι
the enemies to-be the faces of-the men all
ἀπέπτυον, ἐπειδὴ ἅπαντας ἐπὶ τῆς πόλεως καθημένους
spat-on when all in the city sitting
εἶδον, καὶ ταῖς χερσὶν ἐνδεικνύμεναι τοὺς νενικηκότας
they-saw and with-the hands pointing-out the(-men) having-conquered
τὴν ἀνανδρίαν ὠνείδιζον.
the cowardice reproached
29.35 Βελισάριος δὲ Οὐίττιγιν μὲν οὐ ξὺν ἀτιμίᾳ ἐν φυλακῇ
Belisarius and Vittigis indeed not with dishonor in custody
εἶχε, τῶν δὲ βαρβάρων ὅσοι ἐντὸς Πάδου ποταμοῦ
held of-the and barbarians as-many-as within of-(the)-Po river
ᾤκηντο, ἐς ἀγροὺς τοὺς σφετέρους ἰόντας, ἐκέλευεν αὐτῶν
dwelt to fields the their-own going he-bade of-them
κατ᾽ ἐξουσίαν ἐπιμελεῖσθαι.
with liberty to-take-care
29.36 πολέμιον γάρ οἱ οὐδὲν ἐνταῦθα ὑπώπτευεν ἔσεσθαι,
hostile for to-him nothing there he-suspected would-be
οὐδὲ Γότθους ποτὲ ταύτῃ ξυστήσεσθαι, ἐπεὶ πολλοὺς
nor Goths ever there would-combine since many
πρότερον τοῦ Ῥωμαίων στρατοῦ ἐς τὰ ἐκείνῃ χωρία
earlier of-the of-Romans army in the there places
καταστησάμενος ἔτυχεν. οἱ δὲ κατὰ τάχος ἄσμενοι ᾖεσαν.
having-established he-happened they and with speed gladly went

οὕτω τε Ῥωμαῖοι ἐν τῷ ἀσφαλεῖ ἤδη ἐγίνοντο. οὐ γὰρ 29.37
thus both Romans in the safety already were not for
ἔτι Γότθων ἔν γε Ῥαβέννῃ πλήθει ἡσσῶντο. μετὰ
still than-Goths in at-least Ravenna in-number were-inferior afterward
δὲ τὰ ἐν Παλατίῳ χρήματα ἔλαβεν, ἅπερ διακομίζειν
and the in (the)-Palatium money he-took which-very to-convey
βασιλεῖ ἔμελλε.
to-(the)-emperor he-was-going
Γότθων γὰρ οὐδένα οὔτε αὐτὸς ἐληΐσατο οὔτε ἄλλῳ τῳ 29.38
of-Goths for none neither himself plundered nor for-other anyone
ληΐσασθαι ξυνεχώρησεν, ἀλλ᾽ αὐτῶν ἕκαστος τὴν οὐσίαν
to-plunder allowed but of-them each the property
κατὰ τὰ ξυγκείμενα διεσώσατο.
according-to the(-things) agreed preserved
ἐπεὶ δὲ τῶν βαρβάρων ὅσοι ἐς τῶν χωρίων τὰ 29.39
when and of-the barbarians as-many-as in of-the places the
ἐχυρώτατα φυλακὴν εἶχον Ῥάβεννάν τε καὶ Οὐίττιγιν πρὸς
strongest (a)-guard held Ravenna both and Vittigis by
Ῥωμαίων ἔχεσθαι ἤκουσαν, πρέσβεις παρὰ Βελισάριον
Romans to-be-held heard envoys to Belisarius
ἔπεμπον, σφᾶς τε αὐτοὺς ὁμολογίᾳ παραδιδόναι καὶ
sent them both selves by-agreement to-surrender and
ἅπερ ἐφύλασσον ἀξιοῦντες.
what-very they-guarded asking
καὶ ὅς, ἅπασι τὰ πιστὰ προθυμότατα παρασχόμενος, 29.40
and he to-all the pledges most-eagerly having-furnished
Ταρβήσιόν τε καὶ εἴ τι ἄλλο ἐν Βενετίοις ὀχύρωμα ἦν
Tarbesium both and if any other in Veneti stronghold was
παρεστήσατο. Καισῆνα γὰρ ἐν Αἰμιλίᾳ μόνη ἐλέλειπτο,
brought-over Caesena for in Aemilia alone had-been-left
ἣν δὴ πρότερον ξὺν Ῥαβέννῃ παραστησάμενος ἔτυχε.
which indeed earlier with Ravenna having-brought-over he-happened

29.41 καὶ Γότθοι μὲν ἅπαντες, ὅσοι τούτων δὴ τῶν
and Goths indeed all as-many-as of-these indeed the
χωρίων ἦρχον, ἐπειδὴ τάχιστα τὰ πιστὰ ἔλαβον, παρὰ
places commanded when quickest the pledges they-received to
Βελισάριον ἥκοντες αὐτοῦ ἔμενον· Ἰλδίβαδος δέ, ἀνὴρ
Belisarius having-come there stayed Ildibadus and (a)-man
δόκιμος, ὅσπερ φρουρᾶς τῆς ἐν Βερώνῃ ἦρχε, πρέσβεις
approved who-very of-(the)-garrison the in Verona commanded envoys
μὲν ἐς Βελισάριον ἐφ᾽ οἷσπερ οἱ ἄλλοι καὶ αὐτὸς ἔπεμψεν,
indeed to Belisarius on which-very the others also himself sent
ἐπεὶ καὶ τοὺς παῖδας τοὺς αὐτοῦ ἐν Ῥαβέννῃ εὑρὼν
since also the children the his in Ravenna having-found
Βελισάριος ἔσχεν, οὐ μὴν οὔτε ἐς Ῥάβενναν ἦλθεν οὔτε
Belisarius held not indeed neither to Ravenna came nor
Βελισαρίῳ ὑποχείριος γέγονε. τύχη γάρ τις αὐτῷ ξυνέβη,
to-Belisarius subject became fortune for some to-him befell
ἣν δὴ ἐγὼ αὐτίκα δηλώσω.
which indeed I at-once will-show

30.1 Τινὲς τοῦ Ῥωμαίων στρατοῦ ἄρχοντες βασκανίαν ἐς
some of-the of-Romans army commanders envy toward
Βελισάριον ἔχοντες διέβαλλον αὐτὸν βασιλεῖ, τυραννίδα
Belisarius having slandered him to-(the)-emperor tyranny
οὐδαμόθεν αὐτῷ προσήκουσαν ἐπενεγκόντες.
from-nowhere to-him belonging having-imputed

30.2 βασιλεὺς δὲ οὐχ ὅσον ταῖς διαβολαῖς ταύταις ἀναπεισθείς,
(the)-emperor and not so-much by-the slanders these having-been-persuaded
ἀλλ᾽ ὅτι οἱ ὁ Μηδικὸς πόλεμος ἐνέκειτο ἤδη,
but because to-him the Median war was-pressing already
Βελισάριον μὲν ὡς τάχιστα μετεπέμψατο, ὅπως ἐπὶ
Belisarius indeed as quickest summoned so-that against
Πέρσας στρατεύσειεν· ἐπιμελεῖσθαι δὲ Ἰταλίας Βέσσαν τε
Persians he-might-campaign to-take-care and of-Italy Bessas both

καὶ Ἰωάννην ξὺν τοῖς ἄλλοις ἐκέλευε, καὶ Κωνσταντιανῷ
and John with the others he-bade and to-Constantianus
ἐς Ῥάβενναν ἐκ Δαλματίας ἐπέστελλεν ἰέναι.
to Ravenna from Dalmatia he-sent-word to-go
Γότθοι δέ, οἳ Πάδου τε ποταμοῦ καὶ Ῥαβέννης ἐκτὸς 30.3
Goths and who of-(the)-Po both river and of-Ravenna outside
ἵδρυντο, ἀκούσαντες ὡς Βελισάριον βασιλεὺς μεταπέμποιτο,
were-settled having-heard that Belisarius (the)-emperor was-summoning
τὰ μὲν πρῶτα ἐν ἀλογίᾳ τὸ πρᾶγμα εἶχον, οὐκ ἄν
the indeed first(-time) in disregard the matter held not —
ποτε οἰόμενοι Βελισάριον τῆς ἐς Ἰουστινιανὸν πίστεως
ever thinking Belisarius the toward Justinian faithfulness
περὶ ἐλάσσονος τὴν Ἰταλίας βασιλείαν ποιήσασθαι.
of less the of-Italy kingship to-make
ἐπεὶ δὲ αὐτοῦ πολλὴν τῆς ἀφόδου τὴν παρασκευὴν 30.4
when and of-him great of-the departure the preparation
ἐπύθοντο εἶναι, ξυμφρονήσαντες, εἴ τι αὐτῶν καθαρὸν
they-learned to-be having-conspired if anything of-them pure
ἐνταῦθα ἔτι ἐλέλειπτο, ἐς Τικινὸν παρὰ Οὐραΐαν τὸν
there still had-been-left to Ticinum to Uraias the
Οὐιττίγιδος ἀδελφιδοῦν ἦλθον, πολλά τε πρότερον ξὺν αὐτῷ
of-Vittigis nephew came much both first with him
κλαύσαντες ἔλεξαν τοιάδε “Οὐκ ἄλλος οὐδεὶς τῷ Γότθων
having-wept said such(-things) not other no-one for-the of-Goths
γένει αἰτιώτατος τῶν παρόντων κακῶν ἢ σὺ γέγονας.
race most-responsible of-the present evils than you have-become
ἡμεῖς γὰρ τὸν θεῖον τὸν σόν, οὕτως ἀνάνδρως τε καὶ 30.5
we for the uncle the your so unmanfully both and
ἀτυχῶς ἐξηγούμενον, πάλαι ἂν τῆς ἀρχῆς παρελύσαμεν,
unluckily leading of-old — from-the rule would-have-deposed
ὥσπερ Θευδάτον τὸν Θευδερίχου ἀδελφιδοῦν, εἰ μή σου
as Theodatus the of-Theoderic nephew if not your

τὸ δοκοῦν δραστήριον αἰσχυνόμενοι Οὐιττίγιδι μὲν τὸ
the seeming energy respecting to-Vittigis indeed the
τῆς βασιλείας ὄνομα ξυγχωρεῖν ἔγνωμεν, ἔργῳ δὲ σοὶ
of-the kingship name to-concede we-had-decided in-deed and to-you
μόνῳ παραδιδόναι τὴν Γότθων ἀρχήν.
alone to-hand-over the of-Goths rule

30.6 ἀλλὰ περιέστηκεν ἡ τότε δοκοῦσα ἡμῶν εὐγνωμοσύνη, νῦν
but has-turned-out the then seeming our good-sense now
ἄνοιά τε φαινομένη καὶ τῶνδε ἡμῖν τῶν ξυμφορῶν αἰτία.
folly both appearing and of-these for-us the misfortunes cause

30.7 Γότθων γάρ, ὥσπερ οἶσθα, ὦ φίλε Οὐραΐα, τεθνάναι μὲν
of-Goths for as you-know O friend Uraias to-have-died indeed
ἐν τῷ πολέμῳ πλείστους τε καὶ ἀρίστους ξυμβαίνει, τῶν
in the war most both and best it-befalls of-the
δὲ περιόντων, εἴ τι μὲν ἄριστον ἀπολέλειπται, ξύν τε
and surviving if anything indeed best has-been-left with both
Οὐιττίγιδι καὶ χρήμασι πᾶσι Βελισάριος ἄγων οἰχήσεται.
to-Vittigis and money all Belisarius leading will-be-gone

30.8 ταὐτὸ δὲ τοῦτο μὴ οὐχὶ καὶ ἡμᾶς ὀλίγῳ ὕστερον πείσεσθαι,
the-same and this not not also us (a)-little later to-suffer
ὀλίγους τε καὶ λίαν οἰκτροὺς καθεστῶτας, οὐδεὶς ἂν ἀντείποι.
few both and very pitiable having-become no-one — would-gainsay

30.9 τοιούτων τοίνυν περιεστηκότων δεινῶν, τὸ ξὺν εὐκλείᾳ
such therefore having-come-round terrible(-things) the with glory
τεθνάναι μᾶλλον ξυνοίσει ἢ παῖδάς τε καὶ γυναῖκας
to-have-died rather will-be-of-advantage than children both and women
πρὸς τῶν πολεμίων ἐς τῆς γῆς τὰς ἐσχατιὰς ἀγομένους ἰδεῖν.
by the enemies to of-the earth the farthest-parts being-led to-see

30.10 πράξομεν δέ τι, ὡς τὸ εἰκός, ἀρετῆς ἄξιον, ἤν γέ σε
we-will-do and something as the likely of-valor worthy if at-least you
τῶν ἔργων ἀρχηγὸν ἕξομεν.” Γότθοι μὲν τοσαῦτα εἶπον.
of-the deeds (as)-leader we-will-have Goths indeed so-much said

Οὐραΐας δὲ ἀμείβεται ὧδε “Ὡς μὲν δεῖ ἐν τοῖς 30.11
Uraias and answers thus that indeed it-is-needful in the
παροῦσι δεινοῖς πρὸ τῆς δουλείας ἡμᾶς τὸν κίνδυνον
present terrible(-things) before the slavery us the danger
αἱρεῖσθαι, ταὐτά με ὑμῖν γινώσκειν ξυμβαίνει.
to-choose the-same me with-you to-think it-befalls
ἐς Γότθων δέ με τὴν βασιλείαν καθίστασθαι 30.12
into of-Goths and me the kingship to-be-established
παντάπασιν οἶμαι ἀξύμφορον εἶναι· πρῶτα μέν, ὅτι
altogether I-think unprofitable to-be first indeed because
Οὐιττίγιδος ἀδελφιδοῦς ὤν, ἀνδρὸς οὕτως ἠτυχηκότος,
of-Vittigis nephew being (a)-man so having-been-unfortunate
εὐκαταφρόνητος ἂν τοῖς πολεμίοις εἶναι δοκοίην, ἐπεὶ ἐς
contemptible — to-the enemies to-be I-would-seem since to
τοὺς συγγενέας ἀεὶ τὰς ὁμοίας τύχας παραπέμπεσθαι
the kinsmen always the like fortunes to-be-passed-on
οἴονται ἄνθρωποι.
think men
ἔπειτα δὲ οὐδὲ ὅσια ποιεῖν δόξαιμι, ἐπιβατεύων τῆς 30.13
then and not-even holy(-things) to-do I-would-seem trespassing-on the
τοῦ θείου ἀρχῆς, καὶ ἀπ᾽ αὐτοῦ μοι ἀχθομένους ὑμῶν
of-the uncle rule and from it with-me displeased of-you
τοὺς πλείστους, ὡς τὸ εἰκός, ἕξω.
the most as the likely I-will-have
ἐγὼ δέ φημι χρῆναι Γότθων ἄρχοντα ἐς κίνδυνον τόνδε 30.14
I and say to-be-needful of-Goths ruler into danger this
Ἰλδίβαδον καθίστασθαι, ἄνδρα ἐς ἄκρον ἀρετῆς ἥκοντα
Ildibadus to-be-established (a)-man to (the)-height of-valor having-come
καὶ διαφερόντως δραστήριον.
and exceedingly energetic

30.15 ᾧ δὴ καὶ Θεῦδιν θεῖόν γε ὄντα τὸν τῶν
with-whom indeed also Theudis uncle at-least being the of-the
Οὐισιγότθων ἡγούμενον ξυνάρασθαι τοῦ πολέμου διὰ
Visigoths leading to-take-part of-the war because-of
τὸ ξυγγενὲς οὐδὲν ἀπεικός. διὸ δὴ καὶ τὸν ἀγῶνα
the kinship nothing unlikely wherefore indeed also the contest
ξὺν ἐλπίδι ἀμείνονι πρὸς τοὺς ἐναντίους διοίσομεν."
with hope better against the opponents we-will-carry-through

30.16 Τοσαῦτα καὶ Οὐραΐας εἰπὼν τὰ ξύμφορα Γότθοις
so-much also Uraias having-said the(-things) advantageous to-Goths
ἅπασι λέγειν ἔδοξε. καὶ αὐτοῖς Ἰλδίβαδος ἐκ Βερώνης
all to-say seemed and to-them Ildibadus from Verona
αὐτίκα μετάπεμπτος ἦλθεν.
at-once summoned came

30.17 ᾧ δὴ τὴν πορφύραν περιβαλόντες, βασιλέα τε
on-whom indeed the purple having-put king both
Γότθων ἀνεῖπον καὶ σφίσιν εὖ θέσθαι τὰ παρόντα
of-Goths they-proclaimed and for-them well to-settle the present(-things)
ἐδέοντο. ὧδε μὲν ἐς τὴν ἀρχὴν Ἰλδίβαδος κατέστη.
asked thus indeed into the rule Ildibadus was-established

30.18 ὀλίγῳ δὲ ὕστερον Γότθους ἅπαντας ξυγκαλέσας ἔλεξε
(a)-little and later Goths all having-called-together said
τοιάδε "Ἅπαντας ὑμᾶς, ἄνδρες ξυστρατιῶται, πολλῶν
such(-things) all you men fellow-soldiers of-many
ξυνεπίσταμαι εἶναι πολέμων ἐμπείρους, ὥστε οὔποτε
I-know to-be of-wars experienced so-that never
εἰκότως εἰς τὸ πολεμεῖν ἐκ τοῦ εὐθέος χωρήσομεν.
reasonably to the warring from the straight we-will-proceed
ἐμπειρία γὰρ λογισμὸν φέρουσα θρασύνεσθαι ἥκιστα εἴωθεν.
experience for reckoning bringing to-be-rash least is-wont

ἄξιον δὲ ἀναμνησθέντας πάντων ὑμᾶς τῶν πρότερον 30.19
(it-is)-worthy and having-remembered all you the(-things) earlier
ξυμπεπτωκότων, οὕτω τανῦν ὑπὲρ τῶν παρόντων
having-happened so now about the present(-things)
βουλεύεσθαι.
to-deliberate
λήθη γὰρ πολλοῖς τισιν ἐπιγενομένη τῶν ἤδη 30.20
forgetfulness for many some having-come-upon of-the(-things) already
φθασάντων ἐπῆρε μὲν αὐτῶν οὐκ ἐν δέοντι ὑπὸ ἀμαθίας
gone-before lifted-up indeed of-them not in (the)-needful from ignorance
τὰς γνώμας, ἐν δὲ τοῖς μεγίστοις ἱκανῶς ἔσφηλεν.
the minds in and the greatest(-things) sufficiently tripped-up
Οὐίττιγις τοίνυν οὐκ ἀκόντων γε οὐδὲ ἀντιτεινόντων ὑμῶν 30.21
Vittigis therefore not unwilling at-least nor resisting you
ἐς τῶν πολεμίων αὑτὸν καθῆκε τὰς χεῖρας, ἀλλ' ἀπειπόντες
into of-the enemies himself let-down the hands but having-given-up
τότε πρὸς τὰ τῆς τύχης ἐναντιώματα ξυμφορώτατον ἡμῖν
then before the of-the fortune reverses most-advantageous for-us
αὐτοῖς ἡγήσασθε εἶναι Βελισαρίῳ οἴκοι καθήμενοι ἐπακούειν
selves you-thought to-be to-Belisarius at-home sitting to-hearken
μᾶλλον ἢ τοῖς σώμασι διακινδυνεύειν ἀπέραντα.
rather than with-the bodies to-run-risks endless
νῦν μέντοι αὐτὸν ἀκηκοότες ἐς Βυζάντιον στέλλεσθαι, 30.22
now however him having-heard to Byzantium to-set-out
νεωτέροις πράγμασιν ἐγχειρεῖν ἔγνωτε. καίτοι ἐχρῆν
new affairs to-take-in-hand you-decided and-yet it-was-needful
ἐκλογίζεσθαι ὑμῶν ἕκαστον ὡς οὐχ ἅπαντα τοῖς ἀνθρώποις
to-reckon of-you each that not all(-things) for-the men
ᾗ δοκεῖ γίγνεται, ἀλλὰ τῶν δεδογμένων παρὰ
as it-seems happens but of-the(-things) resolved contrary-to

δόξαν πολλάκις ἡ τῶν πραγμάτων ἀπόβασις ἀπ᾽
expectation often the of-the affairs outcome from
ἐναντίας ἐχώρησε.
(the)-contrary went

30.23 τύχη γὰρ καὶ μετάμελος τὰ πολλὰ κατορθοῦν ἐκ τοῦ
fortune for and change-of-mind the most(-part) to-set-right from the
ἀπροσδοκήτου πεφύκασιν. ὅπερ καὶ νῦν Βελισαρίῳ
unexpected are-by-nature which-very also now for-Belisarius
ξυμβήσεσθαι οὐδὲν ἀπεικός.
to-befall nothing unlikely

30.24 ἄμεινον τοίνυν πυθέσθαι μὲν αὐτοῦ πρότερον, πειρᾶσθαι
better therefore to-inquire indeed of-him first to-try
δὲ ἀντικαθιστάναι τὸν ἄνθρωπον ἐπὶ τὰ πρώην ξυγκείμενα,
and to-bring-back the man to the earlier agreed
οὕτω τε ὑμᾶς ἐπὶ τῶν πράξεων τὰ δεύτερα ἰέναι."
so both you to the deeds the second(-place) to-go

30.25 ταῦτα Ἰλδίβαδος εἰπὼν εὖ τε βεβουλεῦσθαι Γότθοις
these(-things) Ildibadus having-said well both to-have-deliberated to-Goths
ἔδοξε καὶ πρέσβεις ἐς Ῥάβενναν κατὰ τάχος ἔπεμψεν.
seemed and envoys to Ravenna with speed sent
οἳ δὴ Βελισαρίῳ ἐς ὄψιν ἐλθόντες τῶν τε ξυγκειμένων
who indeed to-Belisarius into sight having-come of-the both agreed(-things)
σφίσιν ὑπέμνησαν καὶ ἅτε διαλυτὴν τῶν ὡμολογημένων
with-them reminded and as dissolver of-the(-things) agreed
ἐκάκιζον, αὐθαίρετον μὲν ἀποκαλοῦντες ἀνδράποδον,
reviled self-chosen indeed calling(-him) slave
ὀνειδίζοντες δέ, ὅτι δὴ οὐκ ἐρυθριῴη πρὸ τῆς βασιλείας
reproaching and that indeed not he-blushed before the kingship
τὴν δουλείαν αἱρούμενος, ἄλλα τε τοιαῦτα πολλὰ
the slavery choosing other(-things) both such many
λέγοντες ἐπὶ τὴν ἀρχὴν παρεκάλουν.
saying to the rule they-urged(-him)

οὕτω γὰρ καὶ Ἰλδίβαδον ἐθελούσιον ἀφίξεσθαι ἰσχυρίζοντο, 30.26
thus for also Ildibadus willing would-come they-insisted
τήν τε πορφυρίδα καταθησόμενον ἐς τοὺς αὐτοῦ πόδας
the both purple going-to-lay-down at the his feet
καὶ βασιλέα Βελισάριον Γότθων τε καὶ Ἰταλιωτῶν
and king Belisarius of-Goths both and of-Italians
προσκυνήσοντα.
going-to-do-obeisance
οἱ μὲν πρέσβεις ταῦτα ἔλεγον, οἰόμενοι τὸν ἄνδρα 30.27
the indeed envoys these(-things) said thinking the man
τὸ τῆς βασιλείας ὄνομα οὐδὲν μελλήσαντα ἐπισπάσασθαι
the of-the kingship name not-at-all having-delayed to-draw-to(-himself)
αὐτίκα δὴ μάλα.
at-once indeed very
ὁ δὲ οὐ προσδεχομένοις αὐτοῖς ἄντικρυς ἀπεῖπεν, ὡς 30.28
he and not expecting(-it) to-them openly refused that
οὐκ ἄν ποτε ζῶντος Ἰουστινιανοῦ βασιλέως Βελισάριος
not — ever living Justinian emperor Belisarius
ἐπιβατεύοι τοῦ τῆς βασιλείας ὀνόματος.
would-trespass-on the of-the kingship name
καὶ οἱ μὲν ταῦτα ἀκούσαντες ἀπηλλάσσοντό τε ὡς 30.29
and they indeed these(-things) having-heard departed both as
τάχιστα καὶ Ἰλδιβάδῳ τὸν πάντα λόγον ἀπήγγελλον.
quickest and to-Ildibadus the whole account reported
Βελισάριος δὲ τὴν ἐπὶ τὸ Βυζάντιον ἤει καὶ ὁ χειμὼν 30.30
Belisarius and the(-road) to — Byzantium went and the winter
ἔληγε, καὶ τὸ πέμπτον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε,
was-ending and the fifth year ended for-the war this
ὃν Προκόπιος ξυνέγραψεν.
which Procopius wrote
